ibid. ἔῤῥιψεν ἔῤῥιψεν—ἠλπίζομεν. στι. γ. ibid.

ibid. τὶ ταῦτα χε—ἐλπίδες. στι. γ. ibid.

f. 131. καθημέραν—κρίσις. στι. γ. ibid.

ibid. σκοπὸς τέθειμαι—δίδου χέρα. στι. δ. ibid.

ibid. ὄλωλ' ὄλωλα—λυπρὸν βίου. στι. γ. ib. p. 104.

ibid. τί τῇδε μοχθῶ—ἐμοὶ. στι. γ. ibid.

ibid. φεῦ καὶ κρίσιν—θέλεις. στι. δ. Ed. p. 252. D.

ibid. καλεῖς καλεῖς με—φέρων. στι. γ. Tollius p. 104.

ibid. ἦ πόλλ' ἀνέτλην—ἐξόδου. στι. γ. ibid.

f. 131. b. τί με κρατεῖς—ἐνδεής. στι. γ. ibid.

ibid. πάλιν προσῆλθεν—ἁρπάσῃ. στι. γ. Ed. p. 252. D.

ibid. ζῶ καὶ τέθνηκα—τεθνηκέτω. στι. γ. Ed. ibid. Adjicitur ſumma verſuum carm. εἰς τὴν νόσον, στι. ϛ̄γ.

ib. εἰς τὴν ἀπαλλαγήν. Παρῆλθον ἄνθη—ποδηγίαι μάκαρ. στι. ιϐ. Ed. p. 179.

f. 132. τέθνηκα τῷδε—δεσπότην. στι. ζ. Ed. p. 181.

ib. εἰς τὴν ἀναχώρησιν. ἄλλοι μὲν εὐπλοοῦσι—ἀμφοῖν φίλοιν. στι. ιϐ. Ed. p. 181.

ib. κόσμον πόριζε—ἐπτερωμένοι. στι. ζ. Ed. p. 180.

f. 132. b. σκεύαζε—ἐνθάδε. στι. δ. Ed. p. 252.

ib. ἐγὼ τραπέζας—ποιμένες. στι. ζ. Ed. p. 197. Adjicitur fumma verfuum carm. εἰς τὴν ἀναχώρησιν, στι. λ.

f. 132. b. δικάζομαί σε κόσμε—οὕτως ἔχει. στι. ιϐ. Ed. p. 179.

f. 133. χαίρων μὲν ἦλθον—νοημάτων. στι. θ. Ed. p. 180.

ibid. θαύματα ἡλιοῦ καὶ ἐλισσαῖος. Τοσαῦτα θαύμαθ'—ὀστέων. στι. λ. Ed. p. 204.

f. 134. ἐπίγραμμα εἰς τὸ μαρτύριον ἡλιοῦ τὸ ἐπιλεγόμενον χηρεῖον—Αὕτη ξέν' ἐστ' ἀρεπτά—ὠδίνων δίχα. στι. ιϐ. Ed. p. 195.

ib. κατὰ τυμβορύχων. ἐπεί σε κευθμῶν—πάντων ῥέοι. f. 136. Ed. p. 202. Carmina diverfa in fepulchrorum effoffores. Numerus verfuum in fine notatur οδ. Scriba fcil. omiferat duos verfus in 2do decafticho, οἱ τόνδ' ἔχουσι τύμβον· εἰ τόδ' ἐστ' ἔχειν. et, βαλὼν· τί τοῦτο καὶ τεμὼν ἄμφω χέρε, fed margini haud multo poft additi funt.

f. 136. εἰς ἐμαυτὸν—Λέγουσιν οἱ μισοῦντες—def. 137. τοῖς σοῖς θρόνοις γενοίμην. στι. ρϐ. Tollius p. 74. N. B. Tollii vv. 47. 48. hic defunt. v. 83. feqq. fic leguntur, καὶ λάκκον ᾤκησ' ἀγρίων θηρῶν μέσος
εἰ δ' ἔκτασις λέοντας ἔφραξεν χερῶν καὶ νῦν λέοντες· σῶζε.

f. 137. πρὸς τοὺς πολυόρκους διαλογικός. Ὅρκου τί χεῖρον def. f. 144. ἀμὴν γένοιτο. στι. τκη. Ed. p. 224—229.

f. 144. περὶ ἁγνείας σώματος διὰ λυρικοῦ. Ἀρετὴ—τύχοιτε. στι. ι. Ed. p. 252.

f. 144. b. περὶ ἐνανθρωπήσεως Χυ. Νήπιος—definit οὐδὲν ἔχει. Edidit Muratorius Anecd. Gr. p. 211. Lectiones noftri codicis in locis quibufdam apponere non gravabor. V. 2. ἐπουρανίου. 3. λόγου—φανέντος. 6. πάχος. 7. ἡμέτερον φῶς. 8. ἰὸν. 9. ἀμφοτέρωθε τόσον—ἔρδει. 10. πρῶτος. 11. τόσσον ἔχειν. 12. ἀμφιθέειν. 14. μυριάσιν.

ibid. Εἰς τὴν ἐν ταῖς νηστείαις σιωπὴν διελεγει. Ἴσχεο γλῶσσα φίλη—f. 147. ὅρμον ἔχοι στι. ρη. Ed. p. 128—130. C. Deinde ἄλλα δι' ἐλε. Εἰ δ' ἄγε—f. 148. μνημόσυνον λάλεον. Ed. p. 130—131.

f. 148. b. Ὕμνος εἰς Χν μετὰ τὴν σιωπήν: διε. Χε ἄναξ—def. 149. b. ἣν ἐθέλει. στι. νϐ. Ed. p. 131.

f. 149. b. Ἔπος ἡρωϊκὸν καὶ ἰαμβικόν. Εἰ μὴ γλῶσσαν ἔδησα λάλον. f. 150. πίμπειν ἀεί. στι. λϛ. Ed. Muratorius loc. cit. p. 175.

f. 150. ἐνόδια δι' ἐπῶν. Χε ἄναξ ὃς πάντα πέλεις—ἐλεύθερος ἀτρεμέων τε. Ed. p. 127. Defunt hic duo folia, ut patet ex Regiftro.

f. 151. incipit εἷς Θς ἐστιν ἄναρχος—κόλποις. Ed. p. 161. B.

ib. περὶ υἱοῦ διεπῶν. Υἱέα δὲ πρώτιστον—f. 153. ἄφθιτος υἱός. στι. πγ. Ed. p. 161—163.

f. 153. περὶ πνεύματος διεπῶν. Θυμὲ τί δηθύνεις—155. ἡ τριὰς ἔστω. στι. ϛγ. Ed. p. 163—165.

f. 155. περὶ κόσμου· διεπῶν. Εἰ δ' ἄγε καὶ μεγάλοιο—157. ἀμφὶ θόωκον. στι. πη. Ed. 165—167. A.

f. 157. περὶ ἀγγέλων. Ἀγγελικῶν τε χορῶν—λόγοισι. στι. ιϛ. Ed. p. 167.

ibid. περὶ προνοίας. διεπῶν. Ὧδε μὲν εὐρυθέμειλον (fic)—f. 159. αἴης. στι. οα. Ed. p. 167.

f. 159. περὶ λογικῶν φύσεων· διεπῶν. Οἵη δ' ὑετίοιο—f. 161. εὖχος ὅμοιον. στι. ϛθ. Ed. p. 168.

f. 161. περὶ ψυχῆς. διεπῶν. Ψυχὴ δ' ἐστὶν ἄημα—f. 164. στάχυς ἐβλάστησεν στι. ρκη. Ed. p. 170.

f. 164. περὶ διαθηκῶν· διεπῶν. Δεῦρ' ἄγε καὶ δισσοῖο— ᾧ διαμειφθέν. στι. λ. Ed. p. 173.

f. 164. b. περὶ ἐπιφανείας χῦ. διεπῶν. Ἀλλὰ τὰ μὲν μετόπισθ'—f. 165. b. ἄποινον. στι. να. Ed. ib. 174. B.

f. 165. b. περὶ βαπτίσματος. διεπῶν. Εἰ μὲν δὴ μὴ τρεπτὸς—f. 166. ἔπλετο λουτρόν. στι. ιη. Ed. p. 174. C.

f. 166. Πρὸς νεμέσιον ἄρχοντα ἕλληνα διεπῶν. Ὄμμα δίκης—f. 173. b. συνημετέροισι γραφείης. στι. τλγ. Ed. p. 140—146.

f. 173. b. Ἐφάμιλλος τῆς ἐπὶ γάμον παρθένου πρὸς ὀλυμπιάδα διεπῶν. Τέκνον ἐμὸν το δέ τοι πεμπτήριον—f. 176. ἔνθεν ὁδεύειν. στι. ρια. Ed. p. 132—134.

f. 176. περὶ γάμου διελεγείων. Εἴ σοι τί χρηστὸν—δεινοτέροις. στι. ϛ. Muratorius p. 201. In v. 2. nofter Codex οἶκος καὶ γαμετὴ.

ibid. περὶ ἀρετῆς ἀνθρωπείας. διεπῶν. Τὴν ἀρετὴν ποθέωμεν—f. 178. μέτρ' ἐπικείσθω. στι. πδ. Ed. 135—136. C.

f. 178. περὶ ἀρετῆς παραινετικὸς β̄. διεπῶν. Εἰ δ' ἄγε τοι—f. 179. b. τοῦδε βίοιο στι. οβ̄. Ed. p. 136. C.—137.

f. 179. b. Εἰς ἐμαυτόν. διελεγείων. Ἔρχομαι ἐκ βιότοιο—f. 180. b. τρίαδα. στι. νϐ̄. Ed. p. 134.

f. 181. εἰς τὴν νόσον. διελεγείων. Ἤλυθες αὖθις—f. 183. b. σὸν λάτριν ὡς ἐθέλοις. στι. ρϊη̄. Ed. p. 138.

f. 183. b. εἰς ὑπομονὴν διελεγείων. Εἴ τις ἐῶν κακίης—χριστοφόρου πάντα φέρειν κραδίης. στι. ῆ. Muratorius p. 179.

ibid. εἰς πενίαν φιλόσοφον. διελ'. Ἔστω τις—πάθεσι. στι. ϛ. Muratorius p. 183.

ibid. εἰς μονάζοντας. διελ'. Πρώϊην τίς με τρυφᾶν—f. 184. ἀντικαθεζομένην. στι. ῑ. Ed. p. 138.

f. 184. ἄλλο. Οἱ μοναχοὶ—τραύματ' ἔχων. στι. ῑ Ed. ib.

ibid. πρὸς τοὺς μονάζοντας. διελ'. ὡς στυγνὸς—185. οὐ δύναται. στι. κϛ̄. Ed. ib.

f. 185. εἰς ἀγαπητοὺς διε. καὶ ἐλεγει καὶ ἰάμβων. Ἤδη μοι πολιὴ—f. 187. σωφροσύνην. στι. ρϊ̄. Muratorius p. 184—197. in p. 188. ult. pro ζήσατε nofter codex δείξατε. p. 189. 9. pro χ' ὠ nofter χρίστωι. Poft ἔξω βάλῃ p. 194. ult. addit nofter, φεύγειν ἔχιδναν καὶ συνείσακτον φρενός.

f. 187. ὅτι οὐκ ἀπὸ τῶν πιπτόντων χρὴ τοὺς ἀγνοὺς διαβάλλειν. διελεγει. Τὶς φύσις οἱ μὲν ἀγνοὶ—τοῦτο δικαῖον. στι. ιϐ̄. Muratorius pp. 198. 200.

f. 187. b. ὅτι καὶ παίζειν ἔστι σεμνῶς. διε. Παίζει καὶ πολιὴ—μανίαι. στι. δ. Muratorius p. 202.

ibid. εἰς φιλάγριον καὶ πρὸς ὑπομονὴν διελ'. Ἔστιν Ἐπικτήτοιο—f. 188. ἄνθεα καππαδόκεις. στι. ιη̄. Muratorius p. 180. et 182.

f. 188. εἰς εὐγενῆ δύστροπον. διελεγει. Αἵματος ἐξ ἀγαθοῦ—f. 189. ὕψος ἔχων. στι. μ. Ed. p. 126.

f. 189. πρὸς λοιδόρους· διεπῶν καὶ ἐλεγείων. πολλὰ λέγεις με κακῶς—ἔχοις θεόθεν. στι. ιϛ. Muratorius p. 171. 172.

ibid. εἰς γιγάντιον οἰκοδόμον· διελ'. Ἄλλος μὲν βαβυλῶνος—ἄνυδρον ἔχω. στι. ϛ. Muratorius p. 213.

f. 189. b. ἐπιτάφιοι. διε καὶ ἐλ καὶ ἰαμ· εἰς προαιρέσιον σοφιστὴν αὐτοῦ. διελ'. Μηκέτι κεκροπίη—Κεκροπίην. στι. η. Muratorius p. 1.

ibid. εἰς θεσπέσιον γραμματικὸν αὐτοῦ διελ'. Αἲ Αἲ καὶ σὺ θάνες—σοφίης. στι. δ. Muratorius p. 3.

ibid. Εἰς μαρτινιανὸν διελεγείων—191. αἰεὶ μενέτω. στι. ο. Muratorius p. 4—16. In nota p. 6. Muratorius inquit " Τετρυμένων *vexatorum*. In Cod. Ambr. legitur τεθριμμένων, corrupte procul dubio." Corrupta certe lectio τεθριμμένων, veræ tamen continet vestigia. Lege ex nostro τε φθιμένων, qui pro ἄλλαι habet ἄλλων.

f. 191. εἰς λιβίαν. δι ἐλεγείων. ὤφελες ὦ λιβία—τοὺς ἔθ' ὑπολιπομένους. στι. ιη. Muratorius p. 17. 19. 20. Epigramma vv. 6. quod in Muratorii ed. primum locum occupat, in codice nostro ultimum habet. Sed signis ad marginem positis ordinem mutari debere docet librarius.

f. 191. b. εἰς εὐφήμιον. δι' ἐλεγείων. Ἦν δυὰς—192. b. κάλλιπεν ἠγαθέω. στι. μζ. Muratorius p. 20—27.

f. 192. b. εἰς ἀμφιλόχιον διελ'. Ἤλυθε κ' ἀμφιλόχοιο—f. 193. ἀντιχαριζόμενος στι. ιη. Muratorius p. 28. 29.

f. 193. εἰς ἀμφίλοχον ἄλλον διελεγει. Αμφίλοχος τέθνηκεν—καίνυτο καὶ πραπίσι στι. ιϛ. Muratorius p. 30—34.

f. 193. b. εἰς νικομηδῆ. διελ'. Οἴχεαι ὦ νικόμηδες—f. 194. ἱερῇ δυάδι. στι. ιη. Muratorius p. 34—37.

f. 194. εἰς καρτέριον διελ'. Πῆ με λιπὼν—κατέχοις. στι. ιθ. Muratorius p. 37—40.

ib. εἰς βάσσον· δὶς καὶ ἐλεγεῖ. Βάσσε φίλ' ὡς χωι—ὁμοζυγίης. στι. ι. Muratorius p. 41.

f. 194. b. εἰς φιλτάτιον διελ'. Ἤθεον—δέμας. στι. β. Muratorius p. 42.

ibid. εἰς εὐσέβιον καὶ βασίλισσαν διελε. Εὐσέβιον βασίλισσα—μεγάλων. στι. δ. Muratorius ibid.

ibid. εἰς Ἑλλάδιον δι' ἐλεγεί. Αἰεί σοι—f. 195. καμάτων. στι. ιϛ. Muratorius p. 43—45.

f. 195. εἰς γεώργιον διελε. Καὶ σὺ γεωργίοιο—βίοτον. στι. δ. Muratorius p. 45.

ibid. εἰς εὐπράξιον διελ'. χώρης—ἠντιάσεν. στι. δ. Muratorius p. 46.

ibid. εἰς Καισάριον τὸν ἀδελφόν· διελ' καὶ ἰαμβ. Σχέτλιός ἐστιν—f. 197. καππαδόκαις. στι. ρζ. Muratorius p. 49—62.

f. 197. εἰς γοργόνιον τὴν ἀδελφήν· διελε. Γρηγορίου νόννης τε—παλινγενέες. στι. ι. Muratorius p. 63—65.

ibid. εἰς γρηγόριον τὸν πρα. διελεγειῶ. Ἐνθ' ἐκατανταιτὴς—198. λαὸν ὃν εἰς ἔτ' ἄγει. στι. νϛ. Muratorius p. 67—77.

f. 198. εἰς νόνναν τ ἑαυ μρα ἐκ τ θυσιας πεληφθεῖσα. δὶς καὶ επ. Παντός σοι μύθοιο—f. 202. b. νόνν' ἀνέπεμψεν. στι. σζ. Muratorius p. 77—110.

f. 202. b. παρὰ τῶν γονέων. διελ'. Εἴη σοι—τοκέων. στι. ιδ. Muratorius p. 110. 111.

f. 203. εἰς τὸν πάντων αὐτῶν τάφον. διελ'. καὶ ἐπῶν. Λάας ὁ μὲν—ὑστάτιόν περ. στι. ϛ. Muratorius p. 113. 114.

f. 203. b. εἰς ἐμαυτόν· διελ'. Πρῶτα μὲν εὐξαμένη—f. 204. δῶκε δ' ἔρων σοφίης. στι. λϛ. Muratorius p. 115—122.

f. 204. Εἰς τὸν μέγαν βασίλειον· δι ελ'. Σῶμα δίχα ψυχῆς—205. δυωδεκάδα. στι. νϛ. Ed. p. 152. 153.

f. 205. Εἰς ναυκράτιον· διελ'. Ἰχθυβόλον πότ' ἔλυε—ἐλύθη. στι. ιϛ. Muratorius p. 123—126.

f. 205. b. εἰς μαξέντιον δι^{ν}ε καὶ ελε^{γ}. Αἵματος εὐγενέος—χριστιανὸς πελάει. στι$^{\chi\chi}$. ι. Muratorius p. 135. 136.

ibid. Εἰς ἐμμέλιον μρα βασιλει^{ν}. διελε^{γ}. Ἐμμέλιον τέθνηκε—ἔσχες ἕνα. στι$^{\chi\chi}$. ιϛ. Muratorius p. 126.

f. 206. εἰς μακρίναν ἀδελφὴν βασιλει^{ν} διε^{λ}. Παρθένον—ἔχει. στι$^{\chi\chi}$. δ. Muratorius p. 130.

ibid. Εἰς θεοσέϐιον ἀδελφὴν βασιλει^{ν}· διελεγεῖ. Καὶ σύ γε—ἐξελύθης. στι$^{\chi\chi}$. δ. Muratorius p. 131.

ibid. εἰς γρηγόριον τῆς μρς ἀδελφον. διελε^{γ}. γρηγόριον—κόνις. στι$^{\chi\chi}$. δ. Muratorius p. 134.

f. 206. inf. Minore charactere, ſed ab eadem, opinor, manu quæ totum codicem exaravit, εἰς εὐπραξίους ὁμωνύμους δι^{λ}ε: Οὐδεμεν—παρεσταότες. στι$^{\chi\chi}$. δ. Muratorius p. 168.

f. 206. b. κατὰ τοῦ πονηροῦ. διελεγείων. Οὐ λήξεις λοχόων με—φείδεο τῶν μετ' ἐμέ. στι$^{\chi\chi}$. ιϛ. Ed. p. 94. D. 95. A.

ibid. πρὸς τὸν κόσμον διελεγείων. Κόσμε φίλ'—ἐτύχθη. Ed. p. 95. B. C.

Poſt hunc verſum defectus eſt aliquot foliorum, quorum tamen numerum accurate definire nequeo, nullum enim in ſequentibus regiſtri veſtigium comparet. Incipit fol. 207. τέρποιτ' ἦε τις ἐσθλὸς ἀνιάζοι φρένα—deinde, quatuor verſibus interjectis, καὶ τὸ φίλον παθέεσσι καὶ ἄλγεσι σεῖο λαϐέσθαι. στι$^{\chi\chi}$. ζ. Muratorius p. 216. N. B. in primo verſu κούφην, quod exhibet Muratorius, in codice noſtro deeſt.

ibid. γνῶμαι καταδιστιχίαν διελεγεῖ· ἀκροστι$^{\chi}$.—Γνῶμαι Γρηγορίου. δίστιχος εὐεπίη—f. 208. b. μελέτω. στι$^{\chi\chi}$. ξϐ. Ed. p. 146.

f. 208. b. πρὸς τὴν ψυχὴν ἐξ ἑνὸς ἐλεγείου καὶ τριῶν ἰάμϐων. Ἔργον ἔχεις ψυχή—καμάτωι. Ed. p. 176.

ibid. πρὸς τοὺς ἐν μαρτυρίοις τρυφῶντας. Εἰ φίλον ὀρχισταῖς—f. 209. ἀντ' ἀρετῆς τὸ γέρας. στι$^{\chi\chi}$. κ. Muratorius p. 203—206.

f. 209. πρὸς τοὺς ἀνορύττοντας τάφους προφάσει μαρτύρων. Τρισθανέες—210. αὐ-

τομολεῖτε τύπους. στι. λ. Muratorius p. 138—139. verſus habet 24 priores. Poſteriores ſex p. 205.

f. 210. κατὰ τυμβορύχων. Μηκέτι πηκτὸν ἄροτρον—Deſinit codex f. 212. b. τίς δ' ἂν ἀειρόμενον ἠλίκον ὀσσατίης. Muratorius p. 141—156.

Scholia, quæ ſequuntur, haud optimæ quidem ſunt notæ, nec omnino tamen indigna quæ in eruditorum uſus e membranis vetuſtate detritis protrahantur.

f. 1. b. .. τὸ παχυμερ̄ ἡ μὲν γὰρ παχυμερὴς διδασκαλία ἐπιψιλῶν τῶν παραδειγμάτων πρό (κειται) μόνον· ἡ δὲ λεπτομερὴς τά τε ἴδια καταλέγει ἑκάστου πράγματος καὶ τὴν διαίρεσιν δεύτε ὅτι ἐπὶ τῶν πρός τι οὐκ ἔστιν τὸ μὲν ἀκριβῶς εἰδέναι τὸ δὲ παχυμερῶς· μὴ ἵνα τὸν ν πρα ἀκρι ς οἶδας ον δὲ υν παχυμερῶς.

f. 3. ad v. ἡ βασκανία δὲ καὶ βλάβη διὰ φθόνον. Sch. ἡ μέμψις ὃν γαρ φ τ καὶ βασκαίνει φεται καὶ σκώπτει θώς φησι καί τις τῶν σο σκανίης μνημ φραδίσ (ἐστιν) ὁμῶ καὶ ὁ καλλίμαχ· δὲ μῶμος ἵν ὁ φθόνος ἔνθα νεύοιτο.

f. 62. b. ad v. τίνων φρυγίσκοι. Sch. ὅπερ λέγει τοιοῦτόν ἐστι. τις οἰνοχοεῖν βούλεται τὸν γανυμήδην: φρυγισκος δὲ νεανίας ὁ γανυμήδης ὃν ἥρπασεν ὁ ζεὺς εἰς ἀετον μεταβληθείς· νέκταρ δὲ πόμα τῶν κατολυμπον ὑπαρχει θεῶν ἡδύ τι καὶ ἐξαίρετον ὡς ὅμηρος φληναφεῖ:— ταυρος δὲ ὁ ζεὺς διὰ τὴν Εὐρώπην· κύκνος διὰ τὴν Λῆδαν· ἀνὴρ διὰ τὴν Σεμέλην· θηρίον καὶ δράκων διὰ τὴν Ολυμπιαδα· χρυσὸς διὰ τὴν Δανάην· κεραυνος διὰ τὴν ἥραν· ἀετὸς διὰ πασιφαην καὶ γανυμήδην.

ib. ad v. τίς ἡδονῶν δέσποιναν. (τὴν) μὲν οὖν ἀφροδίτην φη ἕλληνες τῶν ἡδονῶν ἔφορον καὶ ὡς θεὸν αὐτὴν προσκυνοῦσιν ὡς ἡδονῆς δέσποιναν κέστον αὐτὴ προσνέμοντες τῆς τοιαυτῆς ἐνεργείας ἐν ᾧ τὰ τῶν ἐρώτων ἀποκεῖσθαι σεμνύνονται παντοίοις ταύτην τιμῶντες ὀνόμασιν ἡδονῆς ἀφροδησια καλουσιν τὴν συνουσιαν· ἀφροδίτη γὰρ ἡ ἐξαφρου καὶ αἰδοιων κύπρες κύπρη γὰρ ὡς εἰς κύπρον ἀναδοθεῖσα κυθήρια καὶ γὰρ ἐκεῖσε τὸ αἰδοῖον ἔπεσεν τοῦ κρόνου φα. παφεία καὶ γὰρ ἐκεῖσε τέθαπται μετὰ κινύρου τοῦ ταύτης ἐραστοῦ.

ib. ad v. τίνων δὲ νύκτες. Sch. νύκτες δὲ εἰσι σκότους ἄξιαι αἱ κατὰ τὸν κέλεον καὶ τὰ τῆς ἐκείνου μυστήρια τελετῆς.

ib. ad v. Ἑρμαφρόδιτοι. οὗτοι εἰσιν οἱ λεγόμενοι διφυεῖς ἀνδρῶν καὶ γυναικῶν φύσιν ἔχοντες· μυθίζονται δὲ ὡς ἀπο ερμου καὶ ἀφροδίτης τὴν ἀρχὴν ἐσχηκότες.

ib. θεοὶ τραγοσκελεῖς οἱ περὶ τὸν πᾶνα πρίαπον ὃν οἱ ποιμένες εὗρον ἐξαφροδίτης ριφέντα κατεπιβουλην ἥρας ἁψαμένης ὑπογάστριον καὶ σηνωσάσης τὸ ἔμβρυον· οὗτοι

δὲ οἱ τραγοσκελεῖς αὐλητικοὶ ὄντες ἔχουσι περὶ αὐτοὺς παρθένους ἀπογυμνουμένας αἰσχρῶς ἐν τῇ ὀρχήσει :

f. 63. ad v. καὶ φειδίαι. Φειδίας τὸ μὲν γένος ἦν συρακούσιος ἀστρολόγος ὁ ἀρχιμήδους πάτηρ ἀγαλματοποιὸς ἄριστος· ὃς τῷ μὲν διῒ ξόανον ἤγειρεν ὡς ἐπονομασθῆναι διος φειδιακου· τὴν δὲ ἀφροδίτην ἀνέθηκεν ὡς πάντα τὸν ὁρῶντα εἰς ἐπιθυμίαν ἕλκεσθαι συνουσίας.

ib. ad v. ἐξ ὑκκάρων. Λαῒς δὲ πόρνη ὑπῆρχεν ἐξυκκάρων. ἣ τῆς αὐτοῦ φθαρεῖσα ἦλθεν εἰς κόρινθον καὶ δημοσιως ἑταιριζομένη τῇ τῆς ὄψεως ὥραι πάντας εἷλκεν χρήματα παρεχομένους, ὅθεν οἱ τῆς Ἑλλάδος λογάδες εἰκόνας αὐτῇ καὶ ἐπιγράμματα ἀνετίθεσαν, ναοῖς τιμῶντες καὶ τόποις δημοσίοις.

f. 71. ad v. μαστιγίαι τε. Τῶν νομάδων σκυθῶν μέρος τι ἐξῆλθεν ἐκ τῆς σκυθίας πλανώμενον ὡς επιληστείαν εἴασαν δὲ τοὺς οἰκετας μετὰ τῶν γυναικῶν τυρεύειν τὸ γάλα· τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ σκύθαι καὶ οὕτως παρεῖχον αὐτοῖς τυρεύειν· χρόνου οὖν ἐκγενομένου καὶ τῶν σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων αἱ γυναῖκες φοιτῶσι παρὰ τοῖς ἐκτυφλωθεῖσι δούλοις καὶ συγγίνονται αὐτοῖς καὶ συλλαβοῦσαι γεννῶσιν καὶ γίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων σκυθῶν ἦσαν δὲ δοῦλοι κατὰ τὸ σπέρμα οἱ οὖν πάλαι ἐξελθόντες σκύθαι ὑποστρέψαντες εὗρον τοὺς ἐκ τῶν δούλων γεννηθεντας ἡϐάσαντας καὶ ἐναντιουμένους αὐτοῖς καὶ γενομένου πολέμου μεταξὺ τῶν δουλοσπόρων καὶ τῶν σκυθῶν ἡττῶνται πάνυ οἱ ἐπανελθόντες ἡττηθεῖσιν οὖν συνεϐούλευσέ τις μὴ διόπλων πολεμεῖν ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἀλλὰ μέτα μαστίγων ἐπελθεῖν αὐτοῖς· οἱ οὖν δουλόσποροι μετὰ μαστίγων τοὺς σκύθας θεασάμενοι ὑπέκυψαν ὡς ἰδίοις δεσπόταις καὶ οὕτως κατελύθη ὁ πόλεμος· ἀποτότε γοῦν ἐκλήθησαν οἱ δουλόσποροι μαστιγίαι :—Vide Nonnum Montacutii p. 151.

f. 74. ad v. μή μοι τὰ σέξτου. τῶν ἀπαιδεύτων ὁ θεῖος γρηγόριος καθαπτόμενος ὑπὲρ μὲν τῶν ἀποστόλων ἱκανῶς ἀπολογεῖται δεικνὺς ἐν λόγων δυνάμει πάντων κατακρατήσαντας διὰ τῆς ἐν εἴδει πυρίνων γλωσσων ἐπιδημησάσης αὐτοῖς ἐνεργείας τοῦ πνς· εἰώθασι γὰρ οἱ ἀμαθεῖς καὶ φίλαρχοι ταῦτα προϐάλλεσθαι ὡς ἁλιεῖς ὑπῆρχον οἱ ἀπόστολοι καὶ ἀγράμματοι ἐπειδὰν δὲ καὶ τοῖς τρόποις διελεγχθῶσιν ἀνευλαϐεῖς τῆς παιδεύσεως καταπτύουσιν τὰ σέξτου καὶ πύρωνος καὶ χρυσίππου καὶ πλάτωνος καὶ λοιπων φιλοσόφων κακίζοντες· καταμωκώμενος οὖν αὐτοὺς ὁ θεόλογος φησιν οἰωδὰν τρόπῳ ϐούλεσθε προιδρίας ἐφιέμενοι διδάξατε.

f. 76. b. ad v. σίμων μάγος χθὲς. σίμων ὁ μάγος γέγονεν ἀπὸ γητθῶ τῆς κώμης Σαμαρείας ὃς ἐν ἀρχῇ τοῦ κηρύγματος τῷ φιλίππῳ πρεσελθὼν ἐϐαπτίσθη· προϋπῆρχε δὲ ταῖς μαγείαις ἐξιστων τὸ ἔθνος τῆς σαμαρείας. ἐν ὑποκρίσει οὖν βαπτισθεις, δυνάμεις τε γινομένας ὁρῶν διὰ τῶν ἀποστόλων καὶ πνς ἁγίου δωρεὰν διεπιθεσεως τῶν χειρῶν αὐ-

τῶν χρήματα προσαγαγὼν τὴν χάριν ἐκπριασθαι βουληθεις. ὑπὸ πέτρου ἀνεθεματίσθη· πολλὰ δὲ καταγωνισάμενος τῆς εὐσεβείας δι εὐχῆς πέτρου καὶ παύλου κατὰ τὴν ρωμην ἀπερραγη τὸν αἰώνιον θάνατον κληρωσάμενος. φησὶν οὖν ὁ θειος γρηγόριος ὅτι ὁ χθὲς τοῖς τρόποις τοῦ σίμωνος σεμνυνόμενος πῶς σήμερον πέτρου τοῦ ἀποστόλου τὸ σεμνὸν ὑποκρίνεται :—

f. 82. ad v. χωρὶς τὰ μυσῶν καὶ τριχῶν (φρυγῶν) ἐρείσματα. Sch. Ελληνες ἐπὶ τὴν Τροίαν ἀναπλέοντες ἐπλανήθησαν καὶ φρυγίαν καταλιπόντες τῇ μυσία προσέβαλον. τηλεφος δὲ ὁ τοῦ ἡρακλέους παῖς τούτους διώκων ἔλεγεν, κεχώρισται τῶν φρυγῶν καὶ τῶν μυσῶν τὰ ὅρια· τοῦτον ἐν συστάδη μάχῃ τιτρώσκουσιν ἀχιλλεὺς καὶ αἴας ἀλγοῦντα δὲ δεινῶς ἡρακλέους υἱὸν αὐτὸν εἶναι μαθόντες καὶ μεταμεληθέντες οἱ τῶν ἑλλήνων βασιλεῖς ἐπισκέπτονται καὶ λόγοις παρακαλουσιν ἰατροις οἰκειοις ὡς ἑνὸν ἐπιμελούμενοι τοῦ δὲ χρηματισθέντος μη ρωσθῆναι τοῦ Ἀχιλλεως ἄνευ πρὸς αὐτὸν ἀφικωμενος θεραπεύεται ἦν γὰρ ἰατρος ἀχιλλεὺς ὑπο χείρωνος παιδευθείς. φησὶν οὖν ὁ θειος γρηγόριος ὅτι κεχώρισται τὰ νόθα τῶν εὐγενῶν· καὶ οἱ ψευδοδιδάσκαλοι τῶν ἀληθῶς διδασκάλων διακέκρινται· κέχρηται δὲ ὑποδείγματι τὸ τῆς μέρρας ὕδωρ καὶ τοῦ σιλωάμ· τὸ μὲν γὰρ πικρίας ἀνάμεστον ἦν καὶ τὸν ὕδωρ· τὸ δὲ τοῦ σιλωάμ λίαν ἡδύτατον καὶ μελιτος γλυκιον ὡς καὶ νόσοις ἐπικουρεῖν· σιλωὰμ δὲ ειρηται ἀπεσταλμένος· αὐτόσε πρισθεντος ησαιου τοῦ προφητου καὶ διψήσαντος ἐξηλθε τὸ ὕδωρ· καὶ χριστος δὲ τω ἐκ γεννηται τυφλω νίψασθαι προσέταξεν πηλον ἀλείψας τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ νιψάμενος ἀνέβλεψεν :—

τοῦ ἀαρῶν εἰς σόφους τρέψαντος τὴν ράβδον ὡς αὔτως δὲ ποιησάντων τῶν αἰγυπτίων ἐπαοιδῶν κατέπιεν ἡ ῥάβδος ἀαρῶν τὰς ἐκείνων.

f. 82. b. ad v. γαλὴν καθίζει μῦθος εἴσω παστάδος. Sch. γαλην ὁ μῦθος τίθησιν καθημένην εἴσω παστάδος· αὕτη δὲ πᾶσιν ἐπιτρέχουσα τοῖς ἐκεῖσε θνήσκει λιμῷ μηδὲν εὑρίσκουσα τῶν ἐξῶν ἔδεται τὸ παράπαν· οὕτως ἔστι πᾶς νόθος διδάσκαλος ὡς ἐν ἀλλοτρία παστάδι τῇ διδασκαλία σεμνυνόμενος ἧς αὐτὸς ἀμοιρεῖ τὸ καθόλου.

f. 83. ad v. πρωτεὺς σοφιστής. Sch. οὗτος ἐνάλιος ὑπῆρχε δαίμων οἰκήσας δὲ τὴν φαριαν νῆσον μετεμορφουτο πολυειδῶς τοῖς πορευομένοις μαντεύεσθαι πρὸς αὐτόν· ὡς αὔτως καὶ ὁ μελάνπους μάντης ὢν μετεμορφοῦτο φαντασιωδῶς ἀπατῶν τοὺς πρὸς αὐτὸν ἀπιόντας οὗτος πρῶτος ελλησιν ἔδειξεν τὰ ἱερὰ μαθὼν ἀπὸ θηβαιων· τοιοῦτος ὁ ποιοι φη οὗτος πᾶς ἐστιν ἐπισκοπος τοῖς καιροῖς ὑποκύπτων καὶ κολακευων τοὺς ἄρχοντας καὶ συναπαγόμενος τοῖς ὑποπίπτουσιν ὡς ὁ λόγος ἔδειξε τόν τε πρωτέα καὶ μελάνποδα.

f. 83. b. ad v. ζευξις . . . . γραφε γενόμενος· τὰ μὲν δημωδη καὶ κοινὰ οὐκ ἔγραφε ἢ ὅσα πανυ ὀλίγα· ἀεὶ δὲ καινοποιεῖν ἐπειρᾶτο καί τι ξένον καὶ ἀλλόκοτον ἐπινοήσας ἐπεκεῖνο τὴν τῆς τέχνης ἀκρίβειαν ἐπεδείκνυτο· θηλείαν οὖν ἵππον κένταυρον ὁ

δὲ οἱ τραγοσκελεῖς αὐλητικοὶ ὄντες ἔχουσι περὶ αὐτοὺς παρθένους ἀπογυμνουμένας αἰσχρῶς ἐν τῆ ὀρχήσει :

f. 63. ad v. καὶ φειδίαι. Φειδίας τὸ μὲν γένος ἦν συρακούσιος ἀστρολόγος ὁ ἀρχιμήδους πάτηρ ἀγαλματοποιὸς ἄριστος· ὃς τῷ μὲν διῒ ξόανον ἤγειρεν ὡς ἐπονομασθῆναι διος φειδιακου· τὴν δὲ ἀφροδίτην ἀνέθηκεν ὡς πάντα τὸν ὁρῶντα εἰς ἐπιθυμίαν ἕλκεσθαι συνουσίας.

ib. ad v. ἐξ ὑκκάρων. Λαῒς δὲ πόρνη ὑπῆρχεν ἐξυκκάρων. ἣ τῆς αὐτοῦ φθαρεῖσα ἦλθεν εἰς κόρινθον καὶ δημοσιως ἑταιριζομένη τῆ τῆς ὄψεως ὥραι πάντας εἷλκεν χρήματα παρεχομένους, ὅθεν οἱ τῆς Ἑλλάδος λογάδες εἰκόνας αὐτῆ καὶ ἐπιγράμματα ἀνετίθεσαν, ναοῖς τιμῶντες καὶ τόποις δημοσίοις.

f. 71. ad v. μαστιγίαι τε. Τῶν νομάδων σκυθῶν μέρος τι ἐξῆλθεν ἐκ τῆς σκυθίας πλανώμενον ὡς επιληστείαν εἴασαν δὲ τοὺς οἰκετας μετὰ τῶν γυναικῶν τυρεύειν τὸ γάλα· τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ σκύθαι καὶ οὕτως παρεῖχον αὐτοῖς τυρεύειν· χρόνου οὖν ἐκγενομένου καὶ τῶν σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων αἱ γυναῖκες φοιτῶσι παρὰ τοῖς ἐκτυφλωθεῖσι δούλοις καὶ συγγίνονται αὐτοῖς καὶ συλλαβοῦσαι γεννῶσιν καὶ γίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων σκυθῶν ἦσαν δὲ δοῦλοι κατὰ τὸ σπέρμα οἱ οὖν πάλαι ἐξελθόντες σκύθαι ὑποστρέψαντες εὗρον τοὺς ἐκ τῶν δούλων γεννηθεντας ἡβάσαντας καὶ ἐναντιουμένους αὐτοῖς καὶ γενομένου πολέμου μεταξὺ τῶν δουλοσπόρων καὶ τῶν σκυθῶν ἡττῶνται πάνυ οἱ ἐπανελθόντες ἡττηθεῖσιν οὖν συνεβούλευσέ τις μὴ διόπλων πολεμεῖν ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἀλλὰ μέτα μαστίγων ἐπελθεῖν αὐτοῖς· οἱ οὖν δουλόσποροι μετὰ μαστίγων τοὺς σκύθας θεασάμενοι ὑπέκυψαν ὡς ἰδίοις δεσπόταις καὶ οὕτως κατελύθη ὁ πόλεμος· ἀποτότε γοῦν ἐκλήθησαν οἱ δουλόσποροι μαστιγίαι :—Vide Nonnum Montacutii p. 151.

f. 74. ad v. μή μοι τὰ σέξτου. τῶν ἀπαιδεύτων ὁ θεῖος γρηγόριος καθαπτόμενος ὑπὲρ μὲν τῶν ἀποστόλων ἱκανῶς ἀπολογεῖται δεικνὺς ἐν λόγων δυνάμει πάντων καταχρατή-

×

σαντας διὰ τῆς ἐν εἴδει πυρίνων γλωσσων ἐπιδημησάσης αὐτοῖς ἐνεργείας τοῦ πνς· εἰώθασι γὰρ οἱ ἀμαθεῖς καὶ φιλαρχοι ταῦτα προβάλλεσθαι ὡς ἁλιεῖς ὑπῆρχον οἱ ἀπόστολοι καὶ ἀγράμματοι ἐπειδὰν δὲ καὶ τοῖς τρόποις διελεγχθῶσιν ἀνευλαβεῖς τῆς παιδεύσεως καταπτύουσιν τὰ σέξτου καὶ πύρωνος καὶ χρυσίππου καὶ πλάτωνος καὶ λοιπων φιλοσόφων κακίζοντες· καταμωκώμενος οὖν αὐτοὺς ὁ θεόλογος φησιν οἱωδὰν τρόπω βούλεσθε προεδρίας ἐφιέμενοι διδάξατε.

f. 76. b. ad v. σίμων μάγος χθὲς. σίμων ὁ μάγος γέγονεν ἀπὸ γητθῶ τῆς κώμης Σαμαρείας ὃς ἐν ἀρχῆι τοῦ κηρύγματος τῷ φιλίππω πρσελθὼν ἐβαπτίσθη· προϋπῆρχε δὲ ταῖς μαγείαις ἐξιστων τὸ ἔθνος τῆς σαμαρείας. ἐν ὑποκρίσει οὖν βαπτισθεις, δυνάμεις τε γινομένας ὁρῶν διὰ τῶν ἀποστόλων καὶ πνς ἁγίου δωρεὰν διεπιθεσεως τῶν χειρῶν αὐ-

τῶν χρήματα προσαγαγὼν τὴν χάριν ἐκπριασθαι βουληθεις. ὑπὸ πέτρου ἀνεθεματίσθη· πολλὰ δὲ καταγωνισάμενος τῆς εὐσεβείας δι εὐχῆς πέτρου καὶ παύλου κατὰ τὴν ρωμὴν ἀπερραγη τὸν αἰώνιον θάνατον κληρωσάμενος. φησὶν οὖν ὁ θειος γρηγόριος ὅτι ὁ χθὲς τοῖς τρόποις τοῦ σίμωνος σεμνυνόμενος πῶς σήμερον πέτρου τοῦ ἀποστόλου τὸ σεμνὸν ὑποκρίνεται :—

f. 82. ad v. χωρὶς τὰ μυσῶν καὶ τριχῶν (φρυγῶν) ἐρείσματα. Sch. Ελληνες ἐπὶ τὴν Τροίαν ἀναπλέοντες ἐπλανήθησαν καὶ φρυγίαν καταλιπόντες τῇ μυσία προσέβαλον. τηλεφος δὲ ὁ τοῦ ἡρακλέους παῖς τούτους διώκων ἔλεγεν, κεχώρισται τῶν φρυγῶν καὶ τῶν μυσῶν τὰ ὅρια· τοῦτον ἐν συστάδη μάχῃ τιτρώσκουσιν ἀχιλλεὺς καὶ αἴας ἀλγοῦντα δὲ δεινῶς ἡρακλέους υἱὸν αὐτὸν εἶναι μαθόντες καὶ μεταμεληθέντες οἱ τῶν ἑλλήνων βασιλεῖς ἐπισκέπτονται καὶ λόγοις παρακαλουσιν ἰατροις οἰκειοις ὡς ἐνὸν ἐπιμελούμενοι τοῦ δὲ χρηματισθέντος μη ρωσθῆναι τοῦ Ἀχιλλεως ἄνευ πρὸς αὐτὸν ἀφικωμενος θεραπεύεται ἦν γὰρ ἰατρος ἀχιλλεὺς ὑπο χείρωνος παιδευθεὶς. φησὶν οὖν ὁ θειος γρηγόριος ὅτι κεχώρισται τὰ νόθα τῶν εὐγενῶν· καὶ οἱ ψευδοδιδάσκαλοι τῶν ἀληθῶς διδασκάλων διακέκρινται· κέχρηται δὲ ὑποδείγματι τὸ τῆς μέρρας ὕδωρ καὶ τοῦ σιλωάμ· τὸ μὲν γὰρ πικρίας ἀνάμεστον ἦν καὶ π.ὸν ὕδωρ· τὸ δὲ τοῦ σιλωάμ λίαν ἡδύτατον καὶ μελιτος γλυκιον ὡς καὶ νόσοις ἐπικουρεῖν· σιλωὰμ δὲ ειρηται ἀπεσταλμένος· αὐτόσε πρισθεντος ησαιου τοῦ προφητου καὶ διψήσαντος ἐξηλθε τὸ ὕδωρ· καὶ χριστος δὲ τω ἐκ γεννηται τυφλω νίψασθαι προσέταξεν πηλον ἀλείψας τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ νιψάμενος ἀνέβλεψεν :—

τοῦ ἀαρῶν εἰς σόφους τρέψαντος τὴν ράβδον ὡς αὔτως δὲ ποιησάντων τῶν αἰγυπτίων ἐπαοιδῶν κατέπιεν ἡ ράβδος ἀαρῶν τὰς ἐκείνων.

f. 82. b. ad v. γαλὴν καθίζει μῦθος εἴσω παστάδος. Sch. γαλην ὁ μῦθος τίθησιν καθημένην εἴσω παστάδος· αὕτη δὲ πᾶσιν ἐπιτρέχουσα τοῖς ἐκεῖσε θνήσκει λιμῷ μηδὲν εὑρισκουσα τῶν ἐξῶν ἔδεται τὸ παράπαν· οὕτως ἔστι πᾶς νόθος διδάσκαλος ὡς ἐν ἀλλοτρία παστάδι τῇ διδασκαλία σεμνυνόμενος ἧς αὐτὸς ἀμοιρεῖ τὸ καθόλου.

f. 83. ad v. πρωτεὺς σοφιστής. Sch. οὗτος ἐνάλιος ὑπῆρχε δαίμων οἰκήσας δὲ τὴν φαριαν νῆσον μετεμορφουτο. πολυειδῶς τοῖς πορευομένοις μαντεύεσθαι πρὸς αὐτὸν· ὡς αὔτως καὶ ὁ μελάνπους μάντης ὢν μετεμορφοῦτο φαντασιωδῶς ἀπατῶν τοὺς πρὸς αὐτὸν ἀπιόντας οὗτος πρῶτος ελλησιν ἔδειξεν τὰ ἱερὰ μαθὼν ἀπὸ θηβαιων· τοιοῦτος ὁ ποιοιφη οὗτος πᾶς ἐστιν ἐπισκοπος τοῖς καιροῖς ὑποκύπτων καὶ κολακευων τοὺς ἄρχοντας καὶ συναπαγόμενος τοῖς ὑποπίπτουσιν ὡς ὁ λόγος ἔδειξε τόν τε πρωτέα καὶ μελάνποδα.

f. 83. b. ad v. ζευξις . . . . γραφε γενόμενος· τὰ μὲν δημωδη καὶ κοινὰ οὐκ ἔγραφε ἢ ὅσα πανυ ὀλίγα· ἀεὶ δὲ καινοποιεῖν ἐπειρᾶτο καί τι ξένον καὶ ἀλλόκοτον ἐπινοήσας ἐπεκεῖνο τὴν τῆς τέχνης ἀκρίβειαν ἐπεδείκνυτο· θηλείαν οὖν ἵππον κένταυρον ὁ

ζεύξις ἐποίησεν ἀνατρέφουσαν πρὸς ἔτι παιδίω ἱπποκενταύρω διδύμω κομιδῆ νηπίω τῆς εἰκόνος ταύτης ἀντίγραφον ἀθήνησι γέγονε πρὸς αὐτὴν ἐκείνην ἀκριβεῖ τῆ στάθμη· τὸ γὰρ ἀρχέτυπον ἀσύλας ὁ ῥωμαίων στρατηγος μετὰ τῶν αλλων σκύλων εἰς Ἰταλίαν ἀπέστειλεν· εἶτα περὶ μελαίαν καταδύσει τῆς ὁλκάδος πάντα καὶ τὴν γραφὴν ἀπολέσθαι λέγεται· μόλις δὲ γράφουσι καλλίμαχος καὶ καλαισης τὴν εἰκόνα τῆς εἰκόνος οὕτως· ἐπι χλοῆς εὐθαλοῦς ἡ κενταῦρος· αὕτη πεποίηται ὅλη μὲν τη ἱππιω χαμαὶ κειμένη καὶ ἀποτέτανται εἰς τουπίσω οἱ πόδες τὸ δὲ γυναικιον ὅσον αὐτῆς ἠρέμα ἐπεγείγερται καὶ ἐπαγκόνος ἐστι· οἱ δὲ πόδες οἱ ἔμπροσθεν οὐκέτι καὶ αὐτοὶ ἀποταδην οἷον ἐπιπλευρον κειμένης· ἀλλ ο μὲν ὀκλάζοντι ἔοικε καμπυλος ὑπεσταλμένη τῆ οπλῆ· ὁ δὲ πάλιν ἐπανισταται καὶ τουδάφους ἀντιλαμβάνεται· οἷοι εἰσιν οἱ ἵπποι πειρώμενοι ἀναπηδᾶν· τοῖν νεογνοῖν δὲ τὸ μὲν ἔχει ταῖς ἀγκάλαις καὶ τρέφει ἀνθρωπικῶς ἐπέχουσα τὸν γυναικεῖον μασθὸν· τὸ δὲ ἕτερον ἐκ τῆς ἵππου θηλάζει εἰς τὸν πωλικὸν τρόπον ἄνω δὲ τῆς εἰκόνος οἷον ὡς ἀπό τινος σκοπῆς ἱπποκένταυρος ἀνὴρ ἐκείνης δηλαδὴ τῆς τὰ βρέφη τιθηνουμένης ἐπικύπτει γελῶν οὐχόλος φαινόμενος ἀλλ' εἰς μέσον λέοντος σκύμνον ἔχων ἐν τῆ δεξιᾶ ὡς δε δείξαιτο τὰ βρέφη· τὸ δὲ θαυμαστὸν τοῦ ζεύξιδος ὅτι τὸ ποικίλον τῆς τέχνης ἐν μια ὑποθέσει ἐπεδείξατο ἵππον σωβαρὸν ἄγριον κομιδὴ λασιον τῆ χαίτη στέρνον τε καὶ ὤμους ὄμμα θηριωδὲς καὶ ἄγριον τὴν δὲ ἵππον οιαι τῶν θετταλῶν ἀνεπίβατοι ἄδμητες ἔτι καθύπερθεν ἡμίτομον γυναικος· ὅσα δὲ τῶν νώτων ἔξω σατυρωδη καὶ μίξις τις καὶ ἁρμογὴ τῶν σωμάτων:— Verba ſunt Luciani in Zeuxide c. 3. T. i. p. 840.

f. 91. b. ad v. παίειν ἔμελλεν. Sch. priora abſcidit bibliopegus . . . . μελλ ἀνετάζειν ὑπεισελθόντος θύμου μικρὸν ἐπισχὼν ὡς ἤσθετο λογον ἔφη σοφον καινὸν πέπονθας ὦ οὗτος ἐπιλέγων ἑαυτω θυμὸν προστάτην ἐσχηκὼς αἰσχρὸν φήσας κακῶ τὰ κακὸν πλήττειν· κρατειν τε δούλου τοῦ πάθους ἡττώμενον:—

ib. τὸν ἀλέξανδρον δέ φασι τῶν ἑλληνιδων πόλεων κατὰ μιας ἀγανακτοῦντα συμβούλω χρήσασθαι τῶ παρμενιῶνι τινα σκοπον ἔχρην περὶ τούτου γενέσθαι· τοῦ δὲ παρμενιῶνος ἐξελεῖν ὡς θηβαιους νεωτερήσαντας πάλαι εἰρηκότος ἀλέξανδρος τὸν σκόπον ἀποτρέπει τὸ μὲν ἀπ' ἄνθρωπον πρέπειν εἰπὼν ἐκείνω· τὸ συμπαθὲς δὲ ἑαυτω· θηβαίους γὰρ ἀνέλων κατὰ κράτος τὴν οἰκίαν πινδάρου τοῦ ποιητοῦ περιποιήσατο τιμῶν αὐτὸν καὶ θανόντα.

ib. ad v. ἐλοιδορεῖ τις. Sch. τὸν φιλόσοφον περικλεα πολλαῖς τις ὕβρεσιν ἄφρων ἔβαλλεν καὶ λίαν αἰσχραῖς ἀπέωθεν ἕως ἑσπέρας ὁ δὲ τὴν ὕβριν ἡσύχως ὡς τιμην φερων τέλος ἀποκαμόντα τὸν ἄφρονα καὶ βαδίζειν οἴκαδε βουληθέντα λύχνω προπέμψας ὁ φιλόσοφος τὴν μανιώδη λύσσαν ἀπέσβεσεν.

f. 92. ad v. ἄλλος ὑβριστὴν. ἄλλος δε υβριστην φιλόσοφος ἐπιπολλαῖς καὶ δαψιλεσιν ὕβρεσιν ἀπειλούμενον εἰ μὴ κακῶς αὐτὸν ἀνέλοι καγὼ φησὶν ὀλοίμην ὁ φιλόσοφος εἰ μὴ σὲ φίλον καταστήσαιμι :—

ibid. Κωνστάντιον. Sch. Κωνστάντιος δὲ ὁ κωνσταντίνου τοῦ μεγάλου υἱὸς πάνυ πραότατος ὢν ὑποτινος τῶν ἄγαν ὑπ' αὐτου τετιμημένων ἀγνωμονηθεὶς καὶ φέρων ἠπιότητι τοιοῦτον εἶπε λόγον· τί πραότερον τῆς μελίσσης ἀλλ' οὐδὲ αὐτὴ φείδεται τῶν τρυγοντων καὶ τις αὐτοῦ τῶν θεραπευόντων ὑποφθάσας φησιν ὦ κράτιστε βασιλεῦ καὶ τοῦτο σκόπει οὐδὲ γὰρ αὐτῇ τὸ κέντρον ἐστιν ἀσφαλές ἐπειδὴ παίει μὲν αὐτίκα δὲ τω κεντρω συνδιολλυται.

f. 96. ad v. τί δ' εἴ σε πόρνη. Διογένης ὁ φιλόσοφος εἰδὼς ἀναιδεις τὰς ἑταιριζομένας γυναῖκας καὶ πρὸς ὕβριν ἑτοιμοτάτας τυγχανουσας προσιὼν αὐταῖς ἠρέθιζε ταύτας· αἱ δὲ βαρείαις καὶ δειναις αὐτὸν ὕβρεσι ἔβαλλον καθώραν ὡς εἴπειν εκαστην· ἐρωτωμενος δὲ δι ἣν αἰτίαν τοῦτο ποιεῖ χάριν ἔλεγεν καρτερίας καὶ τοῦ δύνασθαι τὰς ὕβρεις εὐκόλως φέρειν διῶν κενοδοξίας ὑπερέχειν ἐστιν τοὺς ἀληθῶς φιλοσοφεῖν ἠρημένους· ὁ γὰρ τὰς ὕβρεις ἀταραχῶς δεχόμενος καὶ τὰς ἐξουδενωσεις ὡς τιμας προσιέμενος δοξης κενης οὔ ποτ' ἂν ἐρασθήσεται.

f. 100. b. θύειν σαγήνῃ· προσκύνει τὴν δεξιάν. Schol. θύει δὲ τῆι σαγήνηι πλεονέκτως ὅπερ ὁ προφητης αἰνίττεται τουτεστι τῇ τῶν χρημάτων ἀπείρωι ἄγραι :— τὸ δὲ φιλεῖν τὴν χεῖρα τὴν δεξιαν ἐπάρατον τίθησιν ὁ μέγας ἰὼβ· λέγων εἰ δὲ καὶ ἐπιθεὶς χεῖρα ἐπὶ στόματι ἐφίλησα τὰ καὶ τὰ πήσαιμι.

f. 101. διψὰς δέ εστιν γένος ἐχίδνης· ὅπερ ἡ κατ' αἴγυπτον ἔρημος τρέφει αὕτη τοῖς ἀθλίοις οἷς ἂν περιτύχῃ ἐγχρίμπτουσα καὶ τὸν ἰον ἐντιθεμένη δίψαν τοσαύτην ἐμποιεῖ ὡς μηδέποτε κορέννυσθαι τὸν δηχθέντα ἀλλὰ σχεδὸν εἰς ρεῖθρον ἑαυτὸν ἐμβαλοντα τοσοῦτον ἐκπίνειν ἕως τὴν γαστέρα φορτωθεῖσαν διαρραγῆναι. μέμνηται δὲ μωϋσῆς τοῖς υἱοῖς ιηλ νομοθετῶν τάδε· καὶ μνησθησῃ κῦ τοῦ θῦ σου ὡς διήγαγεν σε τὴν ἔρημον οὗ ὄφις δάκνων καὶ σκορπίος καὶ δίψα.

f. 102. b. v. τὴν γλαῦχ' ἐπίσκωπτεν. Sch. Γλαυκῶπις μὲν Αθηνᾶ ἦν γλαύκη δὲ μηδείας σύμμηρος ἰασωνος δὲ ἐραστὴ ἦν ἡ μηδεια παραζηλωθεῖσα τοῖς ἰδίοις υἱοῖς τὸ ξίφος ἐνέβαλε.

f. 105. ad v. στήλας παρέλθῃς. Sch. Ἡρακλέους λέγονται στηλαι τὰ γάδειρα ὧν οὐ περατὸν ἐπεκείνα· κασπίαι δὲ πύλαι εἰσὶν αἱ πρὸς ἀνατολὰς κείμεναι· ὧν ἐντὸς τὸν σύμμικτον λαὸν ὃν ὁ προφήτης ὼγ καὶ μαγὼγ ὀνομάζει φασιν ὑπάρχειν· αὗται δὲ κεκλεισμέναι εἰσιν ἄχρις ἡμερῶν τῶν ἐσχάτων καθὰς τὸν συμμικτὸν ἐξελεύσεσθαι λόγος ἔχει. πολλὰ τοίνυν τοῖς πλεονεκταις ἐπειπὼν ὁ μέγας γρηγόριος τῶν β ἀκροτάτων εἰς ὑπόμνησιν ἐνάγει· κἂν γὰρ φησιν ἄχρι τῶν στηλῶν ἡρακλέους καὶ τῶν κασπίων πυλῶν διακατασχεις τάφος εἷς ἐπαρκέσει σοι καὶ γὰρ ἐκεῖσε πάντως καταντήσας τῶν σπουδαζομένων ἀπολήξεις.

f. 117. b. ad v. Παρθένε νύμφη χῦ. Sch. ἐν τούτῳ τῷ λόγῳ τὸν συρακούσιον σώ-

φρονα μιμεῖται· οὗτος γὰρ μόνος ποιητῶν ῥυθμοῖς τισὶ καὶ κώλοις ἐχρήσατο μετρικης ἀναλογίας κατὰ φρονήσας.

f. 129. ad v. ἄρπασον ἄρπασον. Sch. τὸ μέτρον ἡρωικὸν· τὸν ᾱ στιχον τρικατάληκτὸν ἔχει· τὸν β̄ δικαταληκτὸν ἡμιηρωικον τὴν μεντοι τελευταιαν συλλαβὴν ἐπ᾽ αμφοτεροις τοις στιχοις αδιαφορον τιθησιν εἴτε μακρα ληγει ειτε βραχεια ὁ οὖν πρωτος στιχος εν τρισι συλλαβαις ληγει καὶ μίαν περιττην συλλαβην ὁ β εν δυσι καὶ ἐν περιττῇ συλλαβῃ καὶ αὐτός.

f. 135. b. ad v. σκείρων τις οὗτος. Sch. σκείρων οὗτος ὁδοστά ἦν ᾤκει δὲ παρὰ τὴν παραθαλασσίαν ἀκτην κακεῖσε καθημενος ἐν μετεωρῳ τοὺς παριόντας ἐξένιζε δόλῳ· οἷς προσέτασσεν τὰ ἑαυτου ὑποδήματα ὑποσυρεῖν τῶν δὲ τουτο δρᾶν πειρωμένων ωθει (ὤθη a m. p.) λακτικῶς καὶ κατέβαλλεν εἰς τὴν θάλασσαν· οἱ δὲ πέτραις προσρηγνυμένοι ἀνηροῦντο ὑπό τε χελωνων παρακειμένων ἠσθιόντο πρὸς τοῦτο ἠθισμένων. τοῦτο μαθὼν ὁ θησεὺς ἀφίκετο ὁ δὲ σκείρων ὡς εἰώθει (ἠώθη a m. p.) λακτικῶς ἐπῆλθεν αὐτῷ καὶ τοῦτον μὲν οὐ κατέβαλεν ἰσχυρώτερον ἄτε· ὑπ᾽ αὐτοῦ δὲ κρημνισθεις ταῖς χελώναις βορὰ καταναλώθη.

ibid. ad v. eundem. τυφωεύς. Sch. τυφωεὺς δὲ οὗτος ἐστιν ὁ γίγας ὁ κεραυνωθεις ὑπο διος ἱστόρηται δὲ ρ̄ κεφαλὰς ἔχειν δρακόντων ὃς κατὰ τοῦ διὸς ἐφθέγγετο ὃν καὶ νεωτερίζειν κατ᾽ αὐτοῦ μέλλοντα κεραυνοις ὡς ὁ μῦθος πολλοῖς μολις καταβαλὼν διʼ ὑπερβολὴν ἴσχυος τω ετναιω ὑποτίθησιν ὄρει ὅθεν τὴν μέχρι δεῦρο βοὴν ἐκεῖσε γινομένην στεναγμὸν εἶναι μυθεύονται τούτου τοῦ γίγαντος ἑλληνες :—

f. 136. ad v. λέγουσιν αἱ μισοῦντες. Sch. ὁ πρῶτος στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος· ὁ δεύτερος δίμετρος ἰαμβικὸς καταληκτικός. μιμεῖται ἐν τούτῳ τὸν ἀρχίλοχον.

f. 137. ὅρκου τί χεῖρον. Sch. καὶ οὗτος ὁμοῖος τῷ λέγουσιν οἱ μισοῦντες· ἐκτος τῶν μέσων ἔχει γὰρ διμέτρους καταληκτικοὺς εἰς συλλαβήν.

f. 139. b. καὶ τοῖς σοφισταῖς. Sch. ἰσοκράτει τῷ ῥήτορι.

143. Scholion ſerioris ætatis, evanidum, non lectum.

f. 144. b. Ἀπολινάριος ὁ λαοδικεὺς αἱρετικὸς ὢν ἔχων δὲ καὶ χειροτονι . . . . αἱρέσεως ἀρχηγος κατέστη· λόγους οὖν ἐμμέτρους ἐκτιθέμενος προφάσει . . . . θεόλογος γρηγόριος ἐξέθετο τὰ ἔπη διὸ καὶ αἰνιττόμενος φησιν ὅτι μελαίνεις τὴν χάρτην πολλαῖς ἐπῶν χιλιάσι· ἔστι δὲ περὶ τῶν μελαινων ἱστορία τις ἀρχαία τοιαύτη· λέγεται δὲ τῆς σαμίων τυραννίδος ἱστιαῖος σάμιος μὲν ἦν τὸ γένος φίλος δὲ γενόμενος δαρείου τοῦ Περσῶν βασίλεως ἐλήφθη ὑπο αὐτοῦ ἐν περσίδι ἐκεῖ δὲ διαιτωμενος ἐπεθύμει ἰδεῖν τὴν ἰδίαν πατρίδα. Nonnus p. 162.

f. 145. Ad v. μέλπω δ' οὐ Τροίην. Sch. Οδυσσεὺς μετὰ τὴν ἰλίου πόρθησιν πολλὰ πλανηθεὶς εἰς φαίακας ναυηγος ἐξερρίφη· φιλοφρονηθεὶς δὲ ὑπὸ τοῦ Ἀλκινόου συνδίαι αὐτω γεγόνει εὐωχουμένοις δὲ τὰ κατὰ τὸν ἐπὶ τρωαδα πολεμον ὁ μελωιδος ἤιδεν ἐν τῆι λύρα τά τε τοῖς δαναοῖς εἰς ἴλιον πραχθεντα καὶ περὶ τῆς μηχανης τοῦ δουρίου ἵππου ὧν ἀπάντων ὀδυσσέυς ἀκούων στενῶν βαρὺ θερμῶς ἔκλαιεν ὅθεν ἐρωτηθεὶς τὴν αἰτίαν ἑαυτὸν βία πολλὴ φανεροῖ· ὡς αὕτως τὰ περὶ τῆς ἀργω ἔμελπε· ἀργῶ δέ ἐστι ναῦς μεγάλη ἐφ' ἣν οἱ περὶ τὸν ἰάσωνα ἀναβάντες πρὸς αἰήτην ἀπέπλευσαν τοῦ χρυσέου δέρους ἕνεκα· ἔνθα ὁ ἰάσων τοὺς πυριπνόους ταύρους ζεύξας εσπειρε τοὺς ὀδόντας τοῦ δράκοντος διδαχθεὶς ὑπὸ μηδείας τῆς αἰήτου θυγατρὸς ἥ τις αὐτοῦ καὶ ἠράσθη :— τὰ κατὰ μελέαγρον καὶ τὴν χοιρου κεφαλην κεῖται ἐν τῷ ιε λόγῳ, καὶ τὰ κατὰ τὸν ἡρακλέα κεῖται παντα ἐν τῷ γ̄ λόγῳ καὶ ῑε ατινα . . . . ἀείδειν . . . reliqua abſcidit bibliopegus.

f. 148. Σαμίων τις ἄναξ. Sch. πολυκράτης ὁ τῶν σαμίων βασιλεὺς εὐτυχὴς ὢν καὶ κατὰ πάντα εὐδρομῶν καὶ μηδόλως λυπούμενος λύπην ἑαυτῷ προσεπινοεῖ. τὸν φθόνον ἀφωσιώσασθαι βουλόμενος καὶ πατρωον φιβλιον ὅπερ ἔχων κατὰ ψυχὴν ἐφίλει ἔβαλεν εἰς θάλασσαν· τοῦτο δὲ ἰχθὺς ὑποδεξάμενος ἠγρεύθη παραχρῆμα τῷ βασιλεῖ δὲ τὴν ἄγραν ὁ ἰχθυβόλος κομίζει τὸ κείμενον ἀγνοων ὁ δὲ βασιλεὺς τῷ ἑαυτοῦ θεραποντι παρέχει ὃς τὸ φιβλιον ἀνατεμὼν τὸν ἰχθὺν εὗρεν καὶ τῷ βασιλεῖ παρέσχεν· οὕτως ἐκείνῳ καὶ βουληθέντι οὐ συνέβη λυπηθῆναι.

f. 149. b. ad v. γέλως ὁ πρωτεὺς εἰς κλοπὰς μορφωμάτων. Sch. πρωτεὺς θρὰξ μὲν ἦν τὸ γένος εἶχεν δὲ υἱους μῶλον καὶ τηλέγονον. τούτους λῃστὰς ὄντας ὁ ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν ἀπερχόμενος διὰ τοὺς γηρυόνους βοῦς. ἐξ ἀθυμίας οὖν ὁ πρωτεὺς εἰς θάλασσαν ἑαυτὸν ἔβαλεν ὃν ὡς ὁ μῦθος ἐλεήσαντες οἱ θεοὶ ἀπεθανάτησαν καὶ γεγονεν ἐνάλιος δαίμων ᾤκησεν· ἐλθὼν δὲ τὴν φαρίαν νησον οὗτος λέγεται μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι. οὗτος καὶ τοῦ ἀλεξάνδρου τὴν ἑλένην ἔλαβεν ἐλθόντος απο τῆς ἑλλάδος· καὶ δέδωκεν αὐτῷ τὸ εἴδωλον αὐτῆς· ὕστερον δὲ μετὰ τὸν τρωϊκὸν πόλεμον ἀφικομένω εἰς αἴγυπτον πρὸς αὐτὸν δίδωσι τὴν ἑλένην τῷ μενελάῳ. οὗτος ὁ πρωτεὺς μετεμορφουτο πρὸς τοὺς ἐντυγχάνοντας ποτὲ μὲν ἄλλως ποτε δὲ τοιῶσδε φαινόμενος καὶ τὴν νῆσον μετεμορφοι τοῖς ἐγγίζουσι ἵνα μὴ ἀναγκάζηται μαντείας λέγειν· ἦν γὰρ καὶ μάντης· καταγελῶν οὖν ὁ θεῖος γρηγόριος τῷ πρωτεῖ τὸν διαβολον απεικαζει μεταπλαττομενον· κεῖται δὲ περὶ πρωτέως καὶ μελάμποδος καὶ ἐν τῷ ρμε λόγω ἐν πλάτει. Confer Nonnum p. 128. 142. Eudociam Villoiſoni p. 348.

f. 157. b. Lineæ primæ pars prior non lecta.

πρῶτος περὶ θέσεως ἀστέρων ἄτλας ἐσκέψατο ὃν καὶ τὸν οὐρανὸν στηλογράφουσι φέροντα· εἶτα ἄρατος, εἶτα ἀρχιμήδης· καὶ καθεξῆς πλείονες· περὶ δὲ αὐτ-

τρολογίας καὶ ἀποτελεσματικῶν πρῶτος ζωροαθρούστης διεσκέψατο βάρβαρος ὤν· ζάμης δὲ μετὰ τοῦτον καὶ δαμοίτας οἱ τούτου παῖδες επειτα ὁ ροίησος ὁ δαμοίτου παῖς· μετὰ τούτους ὀστάνης· οὗτοι τὸν ζωδιακὸν κύκλον διεῖλον εἰς οἴκους καὶ θεοὺς καὶ συνοικεσίας καὶ διαφορὰς αἰέρων· ἕπτα μὲν ἔδοξαν εἶναι θεοὺς· τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ε̄ πλακητας· ἐντεῦθεν ἑπτάχορδον καὶ τὴν λύραν ἱστοροῦντες λέγουσι θεὸν εἶναι ἀΐδιον. ἐξ οὗ τιτᾶνες καὶ κουρῆτες καὶ ἥρωες καὶ εἴδωλα θεῖα καὶ δαιμόνια τῶν ἀνθρώπων βασιλεύοντα λέγουσιν ἐφόρους ἕπτα δι᾽ ὧν τὰ ἀποτελεσματικὰ συμβαίνει ἄρεα ἀφροδίτην δήμητραν διόνυσον ἀθηνᾶν ἥφαιστον ἄρτεμιν· οἱ μὲν οὖν προστιθέασι τὸν ἀσκλήπιον ὡς τοῖς σώμασιν ἐπαμύνοντα οἱ δὲ ζωνας ὀνομάζουσιν οὕτως· κρόνος ζεὺς ἥλιος ἄρης ἀφροδίτη ἑρμῆς σελήνη τὴν δὲ ζωαδικὴν οἴκησιν εἰς ἓξ οἴκους διαιρεῖσθαι (sic a p. m. corr. η) φασιν οὕτως· κρόνου μὲν οἶκοι αἰγόκερως και υδριχοος· διὸς δὲ τοξοτης καὶ ἰχθυες· ηλιου λεων καὶ καρκῖνος· ἄρεος σκορπιος καὶ κριός· ἀφροδίτης ζυγ^ο^ καὶ ταῦρος· ἑρμοῦ δὲ παρ^θ^. καὶ δίδυμοι· σελήνης δέ φασι μὴ εἶναι οἶκον· κατὰ δὲ συμπάθειαν ἡλίου οἰκεῖν· σύνοικοι μὲν οὖν τῶν ῥηθέντων ηλιος ἀπόλλωνος· σελήνης ἄρτεμις· ἑρμοῦ μοῦσα· ἀφροδίτης ἀντέρως· ἄρεως ἄτη· διὸς ἥρα· κρόνου ῥέα· οὗτοι σύνοικοι ἐπὶ τῶν ἓξ ζωδίων· οἷον λέοντος παρθενου ζυγου σκορπιου τοξοτου αἰγοκερως καὶ ἑξῆς· διὸς σύνοικος ποσειδῶν· αρεος πλουτων· ἀφροδίτης ἵμερος ἄρτεμις νεφέλη καὶ οὗτοι ἐπὶ τῶν αλλων εξ ζωδιων· οἷον ἰχθυων κριου ταύρου καρκίνου διδυμων υδριχοου τῶν δὲ διηρημένων εἰς αερα λ̄ς̄ ὡς φασὶ θεῶν εἰσὶ ταῦτα ὀνόματα· αἰδωνεύς· περσεφώνη ἔρως χάρις ὧραι λιταὶ τιθύς κυβέλη πραξιδίκη νίκη ἡρακλῆς εκάτη ἥφαιστος ἶσις σάραπις θέμις μοῖραι ἑστία ερινύς κοῦρος νέμεσις νύμφαι λητώ. καιρός λύμη φόρη ἀνάγκη ἀσκληπιος ὑγίεια τόλμα δίκη φόβος ὄσιρις ὠκεανὸς δόλος ἐλπίς ἀφ᾽ ὧν ξ̄ ἄλλους εἶναι φασίν. ἐκ δὲ τούτων τὴν ἄπειρον κίνησιν τοῦ ζωοφόρου κύκλου καὶ τῶν πλανητων ἐνθεν τὰς μοίρας καὶ γεννήσεις καὶ εἱμαρμένας μυθολογοῦντες καὶ τὰ ἐκ τούτων ἀποτελούμενα καὶ τοῖς ἀνθρώποις συμβησόμενα ὧν διεψεύδοντο πολλῶν πολλὰ (καθὼς) ὁμου τικτομένων καὶ τῶν μὲν βασιλευόντων τῶν δὲ πενομένων καὶ σοφῶν καὶ ἀφρόνων ἄλλων χρηματιζόντων καὶ λυομένων κατὰ πολεμους καὶ λοίμην ὁμου τῶν κατὰ διαφορὰν χρόνου καὶ ἀστέρων συνδεθέντων ὃ δὲ φησὶν ὁ θεόλογος ἐν ταῖς ἑβραϊκαις κεῖσθαι βίβλοις ἐνδιαθέτοις τὸ τῶ βαλαὰμ ἐστὶ προσηγορευόμενον τῆς αὐτῆς χαλδαιοι τῶ βαλαὰμ εἴχοντο παιδείας γὰρ χριστου γεννηθέντος ἐν βηθλεὲμ τῆς ἰουδαίας ἐξ ἀνατολῶν παρεγίνοντο μάγοι ὑπὸ αστερος οδηγουμενοι· πῶς τοίνυν γρηγόριος ὁ θεόλογος ἀνατρέπων τὴν ἐκ τῶν ἀστέρων δοκοῦσαν ἡγεμονίαν νῦν χριστον ὑπὸ ἀστερας μηνυόμενον παρεισάγει· σκοπητέον οὖν ὅτι παρ εβραιοις ἀφανὴς ἦν ὁ ἀστὴρ· οὐ γὰρ τῆς δι᾽ ἀστέρος δηλώσεως ἔχρη-

ζον τὰς διὰ τῶν γραφῶν περὶ χριστου προρρήσεις ἔχοντες χαλδαιοις δὲ τὸ μηδὲν ἢ περὶ τὴν ἀστρολογίαν ἀσχολεῖσθαι ἀναγκαια ἡ διὰ τοῦ ἀστέρος ἐγίνετο δήλωσις τότε οὖν αὐτοῖς ἔπεσεν τὰ τῆς τέχνης βουλεύματα· οὐ γὰρ οὗτος τῶν συνήθων ἦν ἀλλὰ ξένος καὶ παρὰ τοὺς ἄλλους φαινόμ· ὅθεν αὐτοῖς ἡ τοῦ βασίλεως χρίστου γεννησις ὑπενοήθη. φέρεται δὲ καὶ λόγος ἄλλος περὶ πυθίας καὶ τρίπο καὶ τῶν ἄλλων παρ᾽ ελλησι λεγομένων θεῶν. ὅτι χριστου γεννηθέντος οἱ μὲν ἔχαιρον ἀφροδίτην τεκεῖν λέγοντες οἱ δὲ ἔκλαιον ὡς ουκ ἀφροδίτη τίτοκεν ἀλλὰ τις μαρία τὸν τῆς αὐτῶν ἀπάτης καθαιρέτην. ἕκαστον γὰρ εικος ὅθεν εἶχεν τὸ βεβαιον καὶ τὰς ἀποδείξεις κομίσασθαι· ταύτην εορτην ελληνες ἦγον ἐτησίαν ἐκ παλαι καθην ἐτέχθη χριστος ημεραν αυξιφωτ̃ καλοῦντες· ἐτελοῦντο δὲ κατὰ τὸ μεσονύκτιον ἀδύτοις ὑπεισερχόμενοι ὅθεν ἐξίοντες ἔκραζον ἡ παρθένος ἔτεκεν· αὔξει φῶς.

α ὁ μέγας (sic inter lineas)

ταύτην ὡς ἐπιφ γραφει τὴν εορτὴν ἦγον καὶ σαρακηνοὶ πάλαι τὴν παρ᾽ αὐτοῖς σεβομένην τιμῶντες ἀφροδίτην ἣν δὴ χαβαρα τῆι αὐτῶν προσαγορεύουσι γλώσσηι. ταύτην γὰρ θεὸν ἐπεγράψαντο φιλήδονοι γεγονότες πάλαι και νῦν και (q) τῶν αἰθιοπίας μερῶν ἀναγορευόμενοι ὅπου μεγάλην δόξαν κατελθοῦσαν κτήσασθαι τὴν ἀφροδίτην καὶ κάλλος ἀνυπερβλητὸν ὅρμ μυθολογεῖται:— χρὴ τοίνυν τούτων οὕτως εἰρημένων καὶ περὶ τῶν ἀνατεθέντων διαλαβεῖν ὡς φασιν ελληνες. λεγουσιν ἀριάδνης τινα στέφανον καὶ βερονίκης πλόκαμον τοιαῦτα τινα παραληροῦντες ἀριάδνη ὡς φασιν θυγατὴρ μῆνως ὑπηρχεν τοῦ κρητῶν βασιλεως. αὕτη ἠράσθη θησέως τοῦ ἀθηνῶν βασιλεως ἐλθόντος ἐπαναιρέσει τοῦ μινοταύρου· ἐκ τοῦ οὖν θησεως ἔλαβεν αὐτὴν ὁ διόνυσος καὶ ἀνήγαγεν αὐτὴν ἐν τῆι ἁ νάξω καὶ συνεμίγη αὐτῇ καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι᾽ ἀστέρων ὑπεζωγράφησεν:— ἡ δὲ τοῦ πλοκάμου βερονίκης ἐστιν αὐτὴ γέγονε γυνὴ τῆς ἐν ἀλεξανδρείᾳ πτολεμαίου· τοῦ οὖν ἀνδρος αὐτῆς ὄντος ἐν πολέμοις ευξατο ὅτι εἰ ὑποστρέψει ἄτρωτος τῶν πλοκάμων αποκειρασα τῶν ἑαυτῆς ἐν τῷ ἀναθήσει. κομων οὖν (sic) ἀστρονόμος τοτε καὶ προς . . . κιαν αὐτῆς ἔφη ὑπὸ τῶν θεῶν ὑποζωγράφεσθαι αὐτὸν ἐν τῷ οὐρανῷ δι᾽ ἀστέρων βοτρυοειδῶς:— περὶ δὲ κύκνου φασιν ὅτι ζεὺς λήδας ἢ νεμεσεως ἐρασθεὶς βουλόμενος αὐτῇ συγγενέσθαι καὶ μὴ ὁραθῆναι ὑπὸ τῆς ἥρας ὡμοιώθη κύκνῳ καὶ συνῆλθεν τῇ ἐρωμένῃ καὶ διὰ τοῦτο ὑπεζωγραφήθη δι᾽ ἀστέρων:— περὶ δὲ ταύρου φασιν ὅτι ταῦρος περὶ τὴν ἑλλάδα ὑπὸ ποσειδῶνος ἀνεδόθη· οὗτος ἐλοιμαινετο τὴν χώραν· ἐπὶ τοῦτον ἐλθὼν ὁ θησεὺς ἀνεῖλεν αὐτὸν· καὶ βουλόμενοι φη οἱ θεοὶ μεγα δεῖξαι τὸ ἔργον τοῦ θήσεως καὶ θεραπεῦσαι τὸν ποσειδῶνα κατεστήριζον τὸν ταυρον ἐν τῷ οὐρανῷ: περὶ δὲ λέοντος φασιν ὅτι ζῶον ἄγριον ἦν ἐν τῇ νεμέᾳ τῆς πελοποννήσου· οὗτος δὲ τὴν χώραν ἐλοιμαίνετο. εὐρυσθεὺς οὖν ὁ τῶν μυκηνῶν βασιλεὺς μη-

νιῶν τῷ ἡρακλεῖ πέμπει αὐτὸν ἐπαναιρέσει τοῦ λέοντος· ὃς ἐλθὼν ἀνεῖλεν αὐτὸν ἀποπνίξας ταῖς χερσίν. οἱ οὖν θεοὶ φη βουλόμενοι τὸν ἀγῶνα αὐτοῦ ἐπίδοξον ποιῆσαι δι' ἀστέρων ἀνέθηκαν αὐτὸν εἰς τὸν οὐρανόν. περὶ δὲ ὀφιούχου φασιν ὅτι οὗτος ἐστιν ὁ τῆς ἰατρικῆς ἐφορος· σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω λέγεται γὰρ ἀποδύεσθαι τὸ γῆρας καὶ ἀνανεοῦσθαι· ἐπεὶ οὖν ὁ ασκληπιος διὰ τῆς ἰατρικῆς ἀνανεοῖ (q) τὰ σώματα δι' ἀγάλματος ὑπὸ τῶν θεῶν ἀνετέθη ἐν ἄστροις. περὶ δὲ οὐριωνος φασὶν ὅτι οὗτος ἐστι ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσα τοῦ βοὸς τοῦ σφαγέντος ἐπὶ τῇ αὐτῶν φιλοξενία ὑπὸ τοῦ θηβαιων βασιλεως οἶερε. οἱ γὰρ θεοὶ φη βουληθέντες ἰδεῖν εἰ φιλόξενοί εἰσι (lineam hic totam abſcidit Bibliopegus) καὶ οὔρησαν ἐπ' αὐτῇ καὶ ἐποίησαν ἐξ αὐτῆς τὸν οὐρίωνα καὶ κατεστήριξαν αὐτὸν ἐν τῷ οὐρανῷ. Pauca quædam hic evanuere. ἀρτέμιδος καὶ σκορπιον αὐτῇ ἀνήνεγκεν κατ' αὐτοῦ καὶ κρουσθεὶς ἀπέθανεν καὶ ἐστι μετὰ τοῦ σκορπίου φη ἐν τοῖς ἄστροις. περὶ δὲ ἠριγόνης φασὶν ὅτι θυγατὴρ ἦν τοῦ ἰκαρίου ἰκάριος δὲ ἀθηναιος ἦν τὸ γένος ὃς ὑπὸ διονυσου ἐν ἀθήναις ἐλθόντος κλήμα ἀμπέλου δεξάμενος καὶ φυτεύσας ἐγεώργισεν οἶνον καὶ πιων δέδωκε ποιμέσιν καὶ ἔπιον. μεθυσθέντες δὲ καὶ νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ικαρίου διὰ τὸ ἀσύνηθες ἀνεῖλον αὐτόν· ἡ δὲ τούτου θυγατὴρ γνοῦσα διὰ τῆς κυνος ὅτι τεθνηκεν ἐποτνιάτο καὶ ἔσχαλλεν. ἐλεήσαντες οὖν αὐτὴν οἱ θεοὶ διὰ τὸ πάθος μετέθηκαν εἰς τὸν οὐρανὸν καὶ νῦν ἐστιν ἐν τοῖς ἄστροις ἡ ἠριγόνη. τούτων ἁπάντων ὁ θεῖος γρηγόριος ὡς οὐδὲν ὄντων τὴν δόξαν ἀνατρέπει συντόμω λογω· καὶ γὰρ ἐντεῦθεν τὰ ἀποτελεσματικὰ λήρου πλάτεως ἐχόμενα καὶ γέλωτος συνέστη τούτοις καὶ τὴν δι' ἀστέρων δοκουμένην κυβέρνησιν ἀνασκευάσας ὑπὸ τὴν θειαν πρόνοιαν τὸ πᾶν ἀνατίθησι κινουμενον τε καὶ σωζόμενον:—

fol. 162. ad v. Ἰξίονος. Sch. ἐπειδὴ τὴν ψυχὴν ελληνες ἐκ σωμάτων εἰς σώματα μεταγγίζεσθαι ἐκδεδώκασιν ὁ θεῖος γρηγόριος διαπαίζων αὐτοὺς πολλοῖς μὲν τρόποις ἀνεσκεύασεν· καὶ ὡς τὴν ἰξίονος περιφορὰν ἐπ' αὐτῇ τρόπον τινὰ ληροῦσιν. ἰξιων οὗτος δὲ ἠράσθη τῆς ἥρας· ἡ ἥρα προσαγγέλλει τῷ διΐ. ζεὺς οὖν βουλόμενος γνῶναι εἰ ἐρᾷ αὐτῆς ἐξομοιοῖ νεφέλην τῇ ἥρα καὶ ἔστησεν. ὁ δε ἰξίων νομίσας αὐτὴν εἶναι τὴν ἥραν συμμίγνυται αὐτῇ· καὶ ὀργισθεὶς ὁ ζεὺς κολάζει αὐτὸν οὕτως· τροχῷ διατείνας αὐτὸν ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχὸν καὶ ἐστιν ἀεὶ οὗτος ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τινύων τὴν τιμωρίαν· ῥοιζοῦται δὲ κυλινδουμένου τοῦ τροχοῦ βιαίαι φορᾶι.:—

fol. 168. ad v. ψεύστας ἀνδροφόνους (i. e. πατροφόνους pro v. l.) Sch. ἤδη μὲν ἐν τῶι τρίτωι λόγωι περὶ τῶν παρ' ελλησι θεῶν ψευδονύμων εἴρηται πλατυτέρως. εἰρήσεται δὲ καὶ νῦν ἐπιτόμως. κλέπτης μὲν ὁ ἑρμῆς, πατραλοίας ὁ ζεύς, τεκνοκτόνος ὁ κρόνος· μοιχὸς ἄρης, ψεύστης ἀπόλλων, ἀνδρόγυνος διόνυσος, ἐπιβήτωρ γανυμήδους ζεύς·

ὁ αὐτὸς ταῦρος διὰ τὴν εὐρώπην· κύκνος διὰ τὴν Λήδαν· χρυσὸς διὰ τὴν δανάην· ὄφις διὰ τὴν ὀλυμπιάδα· ἀνὴρ διὰ τὴν σεμέλην· παῖς ἀσθενὴς καθ᾽ ὑφόρασιν τῆς ἥρας· ἣν λανθάνων ἐθέλων ὁ γελοιώδης καὶ παμβέβηλος ὀνομαζόμενος οὐκ ὢν δὲ θεὸς εἰς μορφὰς ὅσας ἐκέλευεν ὁ ἔρως μετεποίειτο.

fol. 168. b. priora abſcidit bibliopegus. διονυσ γενομ [a] ἐν γὰρ τῇ διονύσου ἑορτῆι φαλοὺς δερματίνους εἰς αἰδοῖα ἀνδρος περιετίθεσαν ελληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ θεοῦ αὐτῶν καὶ τινας τῶν φαλων ἀνὴρ τ (ἀνήρτων) ἀπὸ τοῦ τραχήλου ἑαυτῶν ἄλλους δὲ περὶ τὴν ὀσφὺν ἰθυτενῶς ἐδεσμουν μιμουμένους αἰδοῖον ὀρθισαν οὓς ἐκάλουν ἰθυφάλλους τοὺς δὲ πλαγειοφάλους· τοῦτο δὲ λέγεται ὅτι ἠράσθη μειρακιον τοῦ διονύσου· τοῦτο δὲ πρὶν ἐπὶ τύχει τῆς ἀσελγείας ποντισθὲν περὶ τὴν Λέρνην ἀπέθανεν. ἀφοσιώσασθαι οὖν βουλόμενος ὁ διόνυσος τὸν ἐρωτα τοῦ μειρακίου σύκινον αἰδοῖον πελεκήσας εἰς τὸν ἑαυτοῦ τράχηλον περιῆψεν καὶ οὕτως πῄει (περιῄει) τιμῶντες οὖν ἑλλήνες τὸν διόνυσον τοῦτο ποιοῦσιν. [b] ἀναύχενοι καὶ κερόεντες εἰσιν οἱ τοῖς καταρωμένοις ὑπὸ τῆς ἑκάτης ἐν εκτόποις φάσμασι φαινόμενοι δρακοντοειδῆς καὶ ἀκέφαλοι ὑπερμήκεις τινες ἄνθρωποι ὥστε ἐκ μόνης θέας ἐκπλῆξαι τοὺς ὁρῶντας καὶ δειματῶσαι· ταύτην δέ τινες φασιν ἄρτεμιν· ἄλλοι σελήνην· οἱ δὲ τινα θεὸν ὁ δικην φάσμασι φαινομενη :— ἡμιδράκοντες δὲ εἰσιν αὗτοι λέγουσι τὴν ἀθηνᾶν παρθένον εἶναι τέτοκεν δὲ δρακοντόμορφον οὕτως· [c] ὁ ζεὺς φη βουλόμενος ταύτην ἀποκυῆσαι τοῦ ἐγκεφαλου ἐδεῖτο συνεργοῦ τοῦ πλήξοντος τὴν κεφαλὴν ὥστε ταύτην ἀποκυηθῆναι· καὶ περὶ τούτου λόγους προσφέρει τῷ ἡφαίστω· ὁ δὲ οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ διὸς εἰ μὴ τὴν γεννωμένην διαπαρθενεύσει καὶ ἠνέσχετο ὁ ζεὺς· λαβὼν δὲ ὁ ἥφαιστος τὸν βούπληγα τέμνει τὴν κεφαλὴν τοῦ διὸς καὶ ἐξῆλθεν ενοπλος ἡ ἀθηνα. ἐπεδίωκεν οὖν αὐτὴν ὁ ἥφαιστος φεύγουσαν ὅπως αὐτῇ συγγίνηται διώκων δὲ ἐσπέρμαινεν εἰς τὸν μηρὸν ἀθηνας ἡ δὲ λαβοῦσα ἔριον ἀπεμάξατο καὶ ἔρριψεν ἐν τῇ γῇ καὶ ἐξῆλθεν ἀνὴρ δρακοντόπους ὃς ἐριχθόνιος ἐκαλεῖτο ὡς ἀπὸ τοῦ ἐρίου καὶ τῆς γῆς.

ibid. θῆρες δέ εἰσι καὶ θηρομηγεῖς οἱ ἐκ τοῦ δελφινου δρακοντος ὑπο κάδμου σπαρέντες οδοντες ἐξ ὧν ανεδόθησαν ἄνδρες ἔνοπλοι δρακοντοειδεις οἱ καὶ ἑαυτοῖς ἐχρήσαντο ἑστηκότες· οὐ μὴν ἀλλὰ καὶ θεοὶ πιθηκόμορφοι καὶ ελλουροειδεις οὓς ἑαυτοῖς αἰγύπτιοι ὑπεστήσαντο.

169. ad v. Ερμᾶς δίγλυφος. Sch. τοῖς τοιούτοις φη ψευδωνύμοις θεοῖς καὶ τὸ πρόσωπον αὐτὸ κατηφὲς τῇ πορνικη μορφῇ συγκεχυμενον ὡς τοῖς συνετοῖς ὁρᾶται περι-

[a] Eudocia, p. 413. [b] Ibid. p. 143, 144. [c] Ibid. p. 151.

πρόσωπος ὁ νοῦς ἐκείνοις καὶ ὁ μὲν Ἑρμᾶς δίγλυφος ἐστιν αλλο τι εμπροσθεν αλλο δε ὄπισθεν οὕτως γὰρ Ελληνες τιθέασι τὸν Ερμᾶν ἐπειδὴ καὶ τοῦ λόγου φα ἡγούμενον αὐτόν.

fol. 169. b. Priora abſciſſa: θηρι εποιε· [d] ὅπερ ἐστι γυνὴ μὲν περικαλλὴς μεχρι τοῦ ὀμφάλου ἔνθεν δὲ καὶ ἔνθεν κυνῶν κεφαλαὶ προσπεφύκασιν αὐτῇ ἕξ. τὸ δὲ ἄλλο αὐτῆς σῶμα ὀφιῶδες ὅπερ φ" θηριον τοὺς παραπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς· ὀδυσσεὺς οὖν ἐν τῇ πλάνηι κατὰ τοὺς σκοπέλους γέγονε τῆς σκύλλης πρινὴ δὲ παραγενέσθαι παρ εαυτῇ κατασχεῖν ἡ κίρκη βουλομένη τὸν ἐκ τῆς σκύλλης ὑπεφηνε κίνδυνον· δι ἧς ὀδυσσεὺς παραπλέων ἓξ τῶν ἑτερῶν ἀπώλεσε ταῖς ἑαυτῆς κεφαλαῖς ἄνωθεν τῆς σκύλλης τοσούτους ἀνελκυσάσης καὶ δεινῶς καταβρωσάσης· ὀδυσσεως μὲν βλέποντος καὶ βοηθῆσαι μὴ δυναμένου τῶν δὲ πικρῶς ἐπιβοωμένων :— περὶ τὸ σικελικὸν τοῦτο καὶ τυρσηνικὸν πέλαγος ἐν ῷ ἡ θαλασσια γίνεται ἀμπότις καὶ ῥαχία καὶ διΐσταται τὸ ὕδωρ ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος εἰ δυνατὸν ὁρασθαι. ἀμπότις δὲ ἐστιν οἱονὶ ἀναπώτις τις καὶ ἀναρόφησις τὸ δὲ ὕδωρ ὑπο στι ει ἐν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ἐρρίγνυται ὃ καὶ καλεῖται ραχια. ἦν δὲ ὁ τόπος οὗτος τοῖς πλέουσιν ἐπικίνδυνος καὶ θανάτου μεστος· συνέβαινεν γὰρ τὸ πλοῖον ὑποβρύχιον ἐν τούτω γενεσθαι τῷ τόπῳ :—

f. 171. b. Prioris lineæ omnia abſciſſa præter ſequentes literas: παρκειμ τῷ ἑλικῶνι ορει τῶν μου

τὸν πατρῷον κλῆρον σκοπτικῶς πρὸς ψόγον· οὗτος ἐκ τῶν μουσων ἐμπνευσθῆναι λέγεται· [e] τρια δὲ τούτου ποιήματα πράττονται· θεογονια· ἔργα ημέραι· ἐν τῇ οὖν θεογονια καταριθμεῖται τὰς τῶν θεῶν γενέσεις ἐν ἄρχη θέμενος ἔρεβος καὶ χάος· ὅθεν οὐρανὸν καὶ γῆν· ὅθεν κρόνον· δια· ποσειδόνα· ἅδην· καὶ σιρὰς θεῶν· ὅθεν κόττον· βριαρέωνα· τοὺς ἑκατονχείρους· ὅθεν τὴν γιγαντομαχίαν· καὶ τὰ ἐκ τῶν αἱμάτων αὐτῶν ιοβολα (q) θηρια· τὴν ὕδραν ἣν ἡρακλεις περὶ τὴν λέρναν ἀπέκτεινεν· τὴν χίμαιραν ἣν ἀνεῖλε βελλεροφόντης· τὴν γοργόνην ἣν ὁ περσευς εκαρατομησε· καὶ μύρια ἐμπαιγμῶν καὶ γέλωτος ἄξια· καὶ τὸν τρικέρβερον κύνα ὃν ἡρακλῆς περὶ τὰς πύλας ἀπέκτεινεν τοῦ αἵδου κατελθὼν συναρπάσαι τῷ περιθῳ τὴν περσεφόνην.

ibid. [f] Ὅμηρος δὲ τὸν τρωϊκὸν ἱστορεῖ πόλεμον τραγικὸς ὢν καὶ κωμικός· ποτε μὲν γὰρ τρώσεις καὶ πτώσεις θεῶν καὶ ἡρώων ποτε δὲ γελοιώδεις μίξεις καὶ ἀπάτας, οἰνοχοΐας τε θεῶν καὶ μοιχείας διαγραφόμενος ἐν οἷς ἐπαινεῖ παραυτὰ ψέγων καὶ τὸ τῆς διανοίας ἄστατον καὶ πηρὸν ἐνδεικνύμενος· ἐν δὲ τῇ ὀδυσσεία βίβλῳ τοσαῦτα ψευδόμενος ὅσα καθ'

[d] Cf. Nonnum, p. 144, 145. [e] Cf. Nonnum, p. 153.
[f] Cf. Stelit. 1. p. 72. ed Mentacut.

ἣν εἴ τις σημειώσασθαι βούλοιτο καὶ γραφῇ παραδοῦναι στηλιτεύων, οὐδ' αὐτὸν οἶμαι τὸν κοσμον χωρησαι τὰ γραφόμενα βιβλία οὐδὲ τὸν βίον ὅλον ἀρκέσαι πρὸς τὰ τοιαῦτα ληρήματα.

ibid. μουσαῖος καὶ λινος παλαιοὶ μὲν εἰσιν καὶ τοῖς περὶ Ὀρφέα ὁμόχρονοι. μουσαῖος δὲ σελήνης λέγεται υἱὸς πρὸς ὃν ὀρφεὺς ἐπογραφεῖ· οὗτοι παρὰ ταῖς παλαιαῖς ἱστορίαις ἐπίσημοι τέ εἰσιν καὶ διαφανεῖς· λέγονται δὲ τὰ μέτρα παρὰ τῶν θεῶν μαθεῖν :—

ibid. [g] Ερμ ? παρελλησιν θεολόγ ἐστιν ὡς ακροτατος ὃς λέγεται σύντροφος μώσεως γεγονέναι καὶ σύσχολος παρ' οὗ καὶ θεολογεῖν ἐξεπαιδεύθη πολλὰ γὰρ περὶ θεοῦ μοναρχίας καὶ τρια ὑποστάσεσι χρίστου τε ὕστερον παθημάτων ἐξέθετο.

ibid. σύβυλλα δὲ βασίλισσα οὖσα φιλόσοφος μέτροις εὐδοκίμησεν πολλὰ περὶ χρίστου καὶ σταυρου φηνασα τινες δὲ ταύτην εἶναι φασὶν τὴν κατὰ τὸν σολομῶντα οἱ δὲ ἐν ῥώμῃ πρότερον φανεῖσαν.

ibid. ὁ μέντοι θεολογος (q) γρηγόριος φησὶν ὅτι οὐδὲν ἐπικάμπτομαι εἰ καί τινες αὐτῶν πλησιον θεολογίας ἐγένοντο· οὐ γὰρ θεόθεν ἐνεπνεύσθησαν· ἀλλ' ἐκ τῶν ἡμετέρων παρέκλεψαν θεοπνευστῶν βίβλων ἐνδιαθέτων.

ibid. [g] εστι τις εν ἀντιοχείᾳ πηγὴ κασταλία λεγομένη ἐν ᾗ λέγεται τὸν Απόλλω παρεδρεύειν καὶ μαντείας καὶ χρησμους τοῖς ἐρχομένοις περὶ τὸ ὕδωρ λέγεσθαι· λέγεται δὲ ὅτι ηνίκα τις ἐμαντεύετο αὔρας λεπτας καὶ πνοὰς τὸ υδωρ ἀνεδίδου καὶ τῶν τοιούτων ἀναδιδομένων πνευμάτων οἱ περὶ τὴν πηγὴν ἱερεῖς ἔλεγον ἅπερ ὁ δαίμων ἤθελεν.

ibid. Ἔστι [h] δὲ καὶ φωκὶς χώρα ἐν τῇ ἑλλάδι ἐν ᾗ πόλις ἐστι καλουμένη Δελφοι ἔνθα ἱερὸν απολλωνος ἵδρυται λεγόμενον πυθω ἐν τούτω τρίπους ἦν καὶ ψῆφοι μαντικαὶ ἐν τῇ φιαλη τοῦ τρίποδος ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα αἱ ψῆφοι κινούμεναι ηλλοντο τότε οὖν ἡ μάντις ἐνεφορεῖτο καὶ ἔλεγεν ἅπερ ἤθελεν ὁ Ἀπολλων. ἀλλαχου δὲ τῶν ἑαυτου λογων ὁ θεῖος γρηγόριος ἐμφορεῖσθαι φησὶν καὶ πληρουσθαι καὶ ἐνθουσιᾶν καὶ μηκετι κεχρῆσθαι τοῖς συνήθεσι δυναμένην· φησὶ δὲ καὶ περὶ ἀνδριάντος τινος καὶ οὗτος δὲ ἐν δελφοις ἦν φωνην εναρθρον απολυων ἐξ ενεργιας δαιμονικης· αναρθροι γὰρ αἱ τῶν δαιμόνων φωναι διὰ τὸ μὴ ἔχειν ὄργανα πρὸς διατύπωσιν τῆς ἐξιούσης φωνης.

f. 172. Primæ lineæ pars major abſciſſa. [i] κίνησεν τὸν απολλω ὁ δὲ ταύτην κινούμενος ἐπιδιωκεν εἰ πῶς αὐτη δύναιτο συγγενέσθαι· ἡ δὲ δάφνη τὴν παρθενίαν θελουσα φυλαξαι τῇ οικεια μητρὶ προσεύξατο τῇ γῇ βοηθῆσαι αὐτῇ· ἡ δὲ τοὺς ἑαυτῆς ἀνοίξασα

[g] Nonnus, p. 165. Conf. Bentleium Diſſ. Phalarid. p. 25, 26. ed. 1699.

[h] Nonnus, ibid.

[i] Nonnus, ibid.

κόλπους ἐδέξατο αὐτὴν θέλουσα δὲ τὸν ἀπολλω ψυχαγωγῆσαι φυτον ἀνῆκεν ὁμώνυμον τῆ κόρη ἐξ οὗ λαβὼν παρὰ τὸν τρίπο εστὸς εστεψεν ἑαυτὸν ψυχαγωγούμενος ὑπὸ τῆς ἐρασθείσης αὐτῶ δαφνης —:— δρυος δὲ μαντεύματα . . . . δωδώνη πόλις ἐστι περὶ τὴν ἤπειρον ἐν ταύτη ἦν δρυς ἐν ῆ ζεὺς ἐπὶ σκιάζειν ἐλέγετο και μαντειαν τοῖς χρήζουσι διδόναι ἐξ αὐτῆς τῆς δρυος . . . . εξηχουμενα· ὅμηρος δὲ σελλοι φησιν οἱ τῆς δωδώνης δρυος μαντεῖς υποχσ τὸ ἔθνὸς προσαγορεύων τούτους δὲ χαμαιευν φησι καὶ ἀνιπτόποδας θω ἀνακειμένους ἔνθα καὶ γυναῖκας ἔλεγον ἐμφορουμένας προλέγειν καὶ μαντεύεσθαι καὶ ταύτας οἷον τοὺς ἱερεις αγνευούσας φασι :— ἄμμων ἐστιν ὧ προσεύξατο αλεξανδρος ὁ μακεδων εἰς τὰ περσικὰ κατελθὼν ὅτε κατὰ τὴν ἀμμωνιακὴν παραγένετο χώραν ἴερα τελέσας ἀμμῶνι τῶ ἐγχωρίω θεῶ χρησμου χαριν. Ολυμπιας γὰρ ἡ τούτου μητηρ τουτον ἔφη εἶναι αὐτοῦ πατερα. ὃς αὐτῶ καθύπνους ἐχρημάτισεν νικήσεις τὸν δαρεῖον ἐπανελθόντα δὲ ναον δειμασθαι καὶ τέμενος κατὰ τὴν πρωτεΐδα νῆσον ὃ καὶ πεποίηκεν ενφαρια τῆ πρώτεως νήσω ἥτις κέκληται ἀλεξάνδρεια :—

ibid. Βραγχίδαι εισιν οἱ τῶν αἰγυπτίων ἰχθυόμορφοι καὶ πιθηκόμορφοι και κυνοειδεῖς θεοὶ περὶ ὧν εἴρηται :—

ibid. τελεται εισι κρυπταὶ ἐλευσῖνος· αὗται αἱ κατὰ τὸν κελεὸν καὶ τριπτόλεμον· [k] ἡ γὰρ δήμητρα εἶχε θυγατέρα τὴν περσεφόνην· ταύτην ἥρπασεν ὁ πλούτων· ζητοῦσα δὲ αὐτὴν ἡ μήτηρ ἦλθεν εἰς τὴν ἀττικὴν χωραν ἐν κώμη ελευσινη παρὰ τριπτολέμω τινὶ ὃς αὐτὴν ἔστησε τῆς πλάνης ἀπαγγείλας αὐτῆ τὸν πλουτωνα ταύτην ἡρπακέναι. ὑπὲρ ταύτης οὖν τῆς εὐεργεσίας διδωσι τῶ τριπτολέμω τὰ σπέρματα σῖτον καὶ λοιπα ἐντειλαμένη παρελθεῖν καὶ σκορπισαι τὰ σπέρματα πανταχοῦ· οὐ γὰρ πρὶν ἴσθιον πλὴν βαλανων οἱ ἄνθρωποι καρπὸν φήγου ὅθεν καὶ φαγεῖν προσηγορεύθη· συμπαραλαβὼν οὖν τὸν κελεὸν ἐπὶ ὄχημα τῶν δρακοντων πτερωτῶν ὁ τριπτόλεμος τὰ σπέρματα δίδωσι πανταχοῦ καὶ γεωργεῖν ἐκδιδάσκει καὶ θεσμὸν δὲ μαθὼν παρὰ τῆς δήμητρος ἄθεσμον ἐξεδίδαξεν ὃν τελοῦνται αλλη δημητρια λέγοντες καὶ ελευσινια τῆν εορτὴν :—

ibid. αὐλῶν ἔστι καὶ φρυγίων ἡ μανιώδης [l] ἔκτομος ἠχὴ αὕτη· [m] ρεά μήτηρ διὸς καὶ ποσειδωνος καὶ αδου καὶ ηρας ὠνομάσθη· ταύτη ἐν τῆ φρυγία ἐγίνοντο τελέται τινες· ἐνθουσιῶντες δὲ οἱ τελοῦντες καὶ τελούμενοι ἐξιστάμενοι κατέτεμνον ἑαυτοὺς ξίφεσι μη αἰσθανόμενοι· οὐκ ἀποκτεῖναι θέλοντες ἑαυτοὺς ἀλλ᾽ αἱμάξαι κηλούμενοι αὐλοῖσιν ἀφαιροῦσιν ἀπονως· μέτα δὲ τὴν ἐκτομὴν εἰς ἀτόπους μίξεις ἀσελγεις ἐτρέποντο :— κρόνος τῆ ρεα γενόμενος σύνοικος ἅπερ ἔτικτεν αὐτῶ παιδια κατέπινεν καὶ τούτου γινο-

[k] Nonnus, p. 149. [l] Cf. Nonnum, p. 130. [m] Vid. Eudociam, p. 369.

μένου ἐπὶ πολλῶν ἄτεκνος ἔμεινεν ἡ ῥέα ὅτε οὖν ἐγέννησε τὸν δία φοβουμένη μή πως καὶ τοῦτο τὸ βρέφος καταποθὲν ἀπόληται λίθον μὲν σπαργανώσασα δέδωκεν ἄντι βρέφους τῷ κρόνῳ τὸν δὲ δια ὑπεξέθετο ἐν τῇ κρῃ καὶ παρεξετασεν κουρητας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν ὅπως δια τινος ἤχοὺς παρακλέπτωσι τὸν κλαυθμὸν του παιδίου πρὸς τὸ λαθεῖν τὸν κρόνον μή πως αὐτὸ καταπίει εὑρὼν κουρῆτες δὲ εἰσι δαίμονες τινες ενοπλοι μαινομενοι πυρρικην γὰρ ὄρχησιν ταύτην καλοῦσιν ελληνες μὲν θεὸν τὸν δία φη γρήγοριος δέ φησιν ὁ θεῖος ὅτι κρητῶν τύραννος ἦν ἄνθρωπος γόης· οἱ δὲ τούτου ὑπασπισταὶ κολακεύοντες αὐτὸν θεὸν ἀνηγόρευσαν τούτου ὁ τάφος ἐν κρήτῃ καὶ ἐπίγραμμα ἔχει ὅτι αὐτόθι κεῖται εἰς ἔλεγχον τῶν οἰομένων αὐτὸν εἶναι θεόν· φασὶ δὲ καὶ σκηπτωθέντα τοῦτον ἀναιρεθῆναι.

fol. 172. b. Linea prima, ſi paucas literas excipias, prorſus abſciſſa. Sequuntur βασιλία [n]. ταύτης γὰρ ὁ ζεὺς ἐρασθεὶς συνεγίνετο αὐτῇ· ἡ δὲ ηρα ζηλοτυπήσασα τὴν σεμέλην ἠπάτησεν αἰτῆσαι τὸν δία ὡς τῇ ἥρα συγγενέσθαι αὐτῇ μετὰ ἀστραπῶν καὶ βροντῶν· τοῦ δὲ ποιήσαντος ουχ ενεγκασα ἀπέθανεν ἡ σεμέλη· ὁ οὖν ζεὺς θᾶττον τὸ ἔμβρυον ὃ ἦν ἐν αὐτῇ λαβὼν ἀνέτεμεν τὸν ἑαυτοῦ μηρὸν καὶ ὑπέθετο μεχρὶ συμπληρώσεως τῶν θ̄ μ̂ (i. e. ἐννεα μηνῶν) ενθεν ὁ διόνυσος ἄτελες ἐκλήθη κύημα καὶ θεὸς ἀνδρόγυνος· χορὸς δὲ περὶ αὐτὸν ἐκλύτων μαιναδιων ἐστι καὶ μεθυόντων· οἱ οὖν θηβαιοι τὸν κεραυνὸν ἔνθεν προσκυνοῦσιν· μωροὶ δὲ λέγονται κατὰ τὴν περὶ αὐτῶν παραβολὴν βοιωτεια ὗς. τοῦ βασίλεως οὖν αὐτῶν θυγατηρ ἡ σεμέλη.

ibid. [o] τὸν μίθραν οἱ μὲν ἥλιον φασιν οἱ δὲ τὸν ἔφορον τοῦ πυρὸς γίνονται δὲ τούτῳ τέλεται μάλιστα παρὰ χαλδαιοις. οἱ δὲ τελούμενοι τῷ μίθρα κατα βαθμον δι' ὀγδοήκοντα κολάσεων ἐτελοῦντο ἀπὸ τῶν ἐλαφροτέρων ἐπὶ τὰς αὐστηροτέρας ἴοντες· ἤρχοντο δὲ ἀπὸ λιμου· εἶτα εξεοντο· εἶτα ἐπὶ χιονας ἐβάλλοντο κἀκεῖθεν εἰς τὰ διὰ πυρὸς μεχρὶ τὰς π̄ κολάσεις ὑπομεῖναι κἀκεῖθεν λοιπὸν ὅσιον τινα ἐλογίζοντο ἀδύνατον δὲ τῷ μίθρα τελεσθῆναι τὸν μὴ διὰ τῶν π̄ παριόντα κολάσεων.

ibid. Κυβέλη ἐστιν ἡ τῶν θεῶν μήτηρ· γαλλαια δὲ ἐκλήθη ὡς ἀπό τινος γάλλου· οὗτος γὰρ αγ̃ και τυμπ̄ν́ ὢν ἐπὶ τὸ ταύτης ἱερον ἐπορεύετο δριμέος δὲ χειμόνος αὐτὸν καθοδον καταλαβόντος ἔχων μεθ' ἑαυτοῦ τὸ τύμπανον καὶ τὰ κύμβαλα σπηλαίῳ καταφεύγει· συνέβη δὲ λέοντα ἐκεῖσε αὐτῷ ἐπελθεῖν λαβὼν οὖν τὰ κύμβαλα καὶ τὸ τύμπανον ἀνασείων ἀπεδίωξεν τὸν λέοντα σωθεὶς δὲ παρεγένετο καὶ ναὸν τῇ ῥεα ἀνέ-

[n] Cf. Nonnum, p. 166.

[o] Cf. Nonnum, p. 130, 143.

θηκεν ἐπωνομάσας γαλλαίης κυβέλης. ἐντεῦθεν οἱ θεοφόρητοι τοιαύταις τὴν ῥεάν τιμῶσι τελεταῖς κύμβαλα σείοντες καὶ τυμπάνοις ἀνακρουόμενοι.

ibid. [p]τὸν νεῖλον αἰγύπτιοι τιμῶσιν ὡς θεὸν αἴτιον εὐπορίας παντες οὖν καὶ πᾶσαι ἐρχομ ἑορτὴν ἐπετέλουν ὁμοῦ δὲ ἐθοινῶντο ἕκαστος ὅπερ εἶχεν ὡς τῷ διϊ τῷ νείλῳ δόξαν προσάγοντες μετὰ γοῦν τὰς χοροτυπίας καὶ τὴν εὐωχίαν εἰς ασελγειαν ἐχώρουν ὡς ἐν μέθῃ συνόντες ἀλλήλοις.

sic

ibid. ἡ Ισσις ἐνομθη τη ἰύτη ὑπὸ διὸς ἁρπασθείσῃ· ὁ γὰρ ζεὺς ὡς ὁ μῦθος ἥρπασε τὴν ἰώ· καὶ φοβούμενος τὴν ἥραν μετεποίησεν αὐτὴν εἰς βοῦν καὶ ποτὲ μεν εἰς λευκὴν ποτε δὲ εἰς μέλαιναν ποτὲ δὲ εἰς ἰαζουσαν καὶ οὕτως ἐπλανᾶτο μετ᾽ αὐτῆς ἦλθεν οὖν σὺν τῆς ἰοῦς ὁ ζεὺς εἰς αἴγυπτον· καὶ τιμῶσιν αἰγύπτιοι τὴν ἰὼ ἤτοι τὴν ἴσσιν· διὸ καὶ ἐπὶ τοῦ ἀγάλματος κατὰ κεφαλης αυτης βοὸς ἐγγλύφουσι κέρατα.

ibid. [q]Οσσιρις παρ᾽ αιγυπτιοις ἐνομίσθη θεός· καὶ οἱ μὲν τὸν αὐτὸν εἶναι λέγουσι τῷ διονύσῳ· οἱ δὲ ἕτερον τοῦτον ὑπὸ τοῦ τυφῶνος ἐσπαράχθαι φασιν· ὁ δὲ τύφων δαίμων ἔστι καυστικός οὕτως οὖν ἐπένθησαν αἰγύπτιοι τὸν ὄσσιριν ὡς κατὰ χ μνημην ποιεῖσθαι τοῦ σπαραγμοῦ αὐτοῦ· ὥσπερ δὲ τὸν διόνυσον ὑπὸ τῶν τιτάνων οὕτως καὶ τον ὄσσιριν ὑπὸ τυφῶνος φασὶν ἐσπαράχθαι. μυκήματα δὲ εἰσι τὰ τῆς ἴσσιδος· σπαράγματα δὲ δακρυώδη τὰ ὀσσίριδος.

ibid. αραπις αιγυπτιων καὶ οὗτος θεὸς ἐν τῇ χειρι δὲ ξυλον ἔχει ξηρον· ἐν οἷς χρησμολογεῖ ψευδόμενος καὶ βλάπτων τοὺς ἀπατωμένους ὃν τρόπον ὁ λοξίας ἀπολλὼν.

fol. 173. Priora hujus folii abſciſſa. Sequuntur : πανδαισιαν πολλὴν εὐωχοῦντες τὸν ἐπιδημήσαντα αὐτοῖς θεὸν ἄπιν.

ibid. Λακεδαιμόνιοι πρὸς καρτερίαν γυμναζομενοι εορτην εποιουν ἐν ᾗ ἐμάστιζον ἀλλήλους καὶ ανδρειαν τινα εκ τουτου επαιδευοντο καρτερικῶς ἔχειν περὶ τοὺς πολέμους. ετιμων δὲ οἱ Λάκωνες ἐν τῇ εορτη τῶν μαστιγιων τὴν ἄρτεμιν ταύτην γὰρ φ παρ θν καρτερικην τε και δειλιαν πασης υπερκειμενην κατεμπαθειας. μαλακίαν δὲ τιμῶσιν οἱ λάκονες καὶ ἐμπάθειαν οὕτως ὅτι κατεορτην παρα συσσιτια καὶ κοινῶς ἤσθιον ἅπαντες καὶ ἐθηλύνοντο τῷ τῆς παιδεραστίας ἐπινεμωμενοι πάθει ὡς περὶ πανσανίου καὶ ἀργιλίου ὅτι παιδικα ἦν ποτε ἀργίλιος τοῦ πανσανίου θρασύτητα δὲ ἐσεβάσθησαν ὅτι καρτερικωτερον οἱ ταῖς μάστιξιν εχόμενοι καί τι ἐκομίζοντο ἐπαθλον.

ibid. [r]σαλμοξις ὁ διὰ πλήθους τοξεύων οὗτος ἔστιν ἄβαρις ὁ ὑπερβορεος οὗτος δὲ ὁ ἄβαρις ὡς ἡρόδοτος φησιν ἐξ ὑπερβορέων ἦν οὗτοι δὲ ἀρκτικώτεροι εἰσι καὶ τῶν σκυθῶν

[p] Conf. Nonnum, p. 168. [q] Vide Eudociam, p. 319. [r] Vide Eudociam, p. 20.

ἐνδότεροι. οὗτος ὁ ἄβαρις ἔνθους γενόμενος κύκλῳ περιῄει μετὰ βέλους τὴν ἑλλάδα καὶ χρησμοὺς τινας ἔλεγε καὶ μαντείας· ὁ δὲ ῥήτωρ λυκοῦργος ἐν τῷ κατὰ μενεσχ͂ι (sic) λόγῳ φησιν ὅτι λιμου γενομένου ἐν τοῖς ὑπερβορέοις ἐλθὼν ὁ αβαρις ἐμισθότευσε τ͂ ἀπόλλ͂ καὶ μαθὼν χρησμοὺς παρ' αὐτοῦ σύμβολον ἔχων τὸ βέλος τοῦ ἀπόλλωνος περιῄει ἐν τῇ ἑλλάδι μαντευόμενος.

ibid. [s]Ταῦροι ἔθνος ἐστι περὶ τὴν σκυθίαν ἐν τούτοις μετετέθη ὑπὸ τῆς ἀρτέμιδος ἡ θυγάτηρ ἀγαμέμνονος ἠφιγένεια ἐν τῷ μέλλειν αὐτὴν θύεσθαι ὕπερ ἑλλήνων ἐν τῇ αὐλίδι ὑπερ ἧς ἀντέδωκεν ἔλαφον ἔνθεν ἐκλήθη ἔλαφος ἀντιπαρ. ἡ οὖν ἠφιγένεια οὖσα ἐν τοῖς ταύροις διὰ τὸ μὴ γνωσθῆναι ὑπὸ τῶν ξένων ἐπέτρεπεν θύειν αὐτοὺς τῇ ἀρτέμιδι ἦν γὰρ ἀρτέμιδος ἱέρεια. ὕστερον δὲ δειματούμενος ὀρέστης ὑπὸ τῶν ἐρινύων ἦλθεν ἐν ταύροις· συλληφθέντα δὲ καὶ μέλλοντα ἀναιρεῖσθαι ἐπιγνοῦσα ἠφιγένεια τοῦτον ἐκ τοῦ ἐλεφαντίνου ὤμου ὡς ἀδελφον περιεποιήσατο καὶ σὺν αὐτῷ λοιπὸν τῶν ταύρων ἀνεχώρησεν.

ibid. πολύυμνός ἐστιν ὁ τοῦ διονύσου ἐράστης ὃς πρὸ τοῦ τυχεῖν τῆς ἐφίσεως περὶ τὴν λέρνην ἐποντίσθη ἐκεῖσε γὰρ διονύσῳ π τ μρσ πλανωμένῳ ταύτην εἶναι διεβεβαιώσατο πρότερον ὑποσχομένου διονύσου προσμίξειν ἑαυτὸν αὐτῷ ἐπιδοῦναι διὸ καὶ μὴ τυχήσαντι τὸν πόθον ἀφωσιώμενος αἰδοῖον τῷ τραχήλῳ διόμ͂ περιῆψεν ὡς εἴρηται προβραχεως περὶ φαλ͂ καὶ ἰθυφαλ.

ibid. [t]κύπρις ἐστιν ἡ ἀφροδίτη αὐτὴ δὲ ἐκ τῶν αἰδοίων τοῦ οὐρανοῦ τὴν γέννησιν ἔχειν μυθεύεται ὁ γὰρ κρόνος φησιν υἱος ὢν τοῦ οὐρανοῦ λαβὼν τὸ δρέπανον ἔκοψεν τοῦ ἰδίου πατρος τὰ αἰδοῖα καὶ ἔρριψεν εἰς τὴν θάλασσαν· ταῦτα δὲ πεσόντα αφρον συνηξαν πολὺν καὶ ἀπεκύησαν τὴν ἀφροδίτην ὄντως δὲ κέκληται ὡς ἐκ τοῦ ἄφρου καὶ τῆς καταδύσεως τὴν γέννησιν ἐσχηκυῖαν. ταύτην ἔφορον εἶναι φασιν πορνείας καὶ τῶν ἐρωτικῶν ἁπάντων. κύπρις δὲ λέγεται ὅτι ἐν κύπρῳ ἀνεδόθη· κυθήρη ὅτι ἐν κυθηρεια πέπτωκεν· παφία ὅτι ἐν πάφῳ κεῖται μετὰ κινύρου.

ibid. κερδαλέη καὶ Λίνδος ἐστιν αὕτη· [u]κερδὼ καλεῖται ἡ ἀλώπηξ ἔνθεν κερδάλη ἡ πονηρία καὶ δολιότης δόλιον δὲ τοῦτο τὸ ζῶον. [x]Λίνδος δὲ πόλις ἐστι παλαία τῆς ῥόδου ἐν ταύτῃ τῷ ἱερεῖ τῷ θύοντι καὶ θοινωμένῳ τὸν βοῦν οἱ θύοντες κατηρῶντο διαλοιδορούμενοι καὶ ὑβρίζοντες ὕβρεις οὐχ ὁσίας. δόλου δὲ πάντος ἀναμεστὸν τὸ τοιοῦτο.

fol. 173. b. Priora ſunt abſciſſa. [y] καὶ αὐτος μὲν ὑπὸ τοῦ πυρὸς ὤλετο· ὁ δὲ θεὸς βου [ληθεὶς δημοσιεῦσαι αὐτοῦ τὴν] κενοδοξίαν τὸ σάνδαλον αὐτοῦ χαλκεον ἀποπτυσθῆναι

[s] Nonnus, p. 130. ζ.

[t] Vide Eudociam, p. 13.

[u] Nonnus, p. 142.

[x] Nonnus, p. 146.

[y] Eudocia, p. 171. Nonnus, p. 127.

τοῦ πυρὸς εποίησεν καὶ οὕτως ἐγνώσθη ὅτι μετα οσιος μεν οὐ γέγονε, κατεκάη δὲ τῆς ἰδίας ἀξίως κενοδοξίας.

ibid. [x] τροφώνιος δὲ καὶ ἐμπεδότιμος ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτείας πόλεως Λεβαδίας μάντεις δὲ τὰς τέχνας καὶ οὗτοι δὲ βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι ὅτι ἀνελήφθησαν εαυτους ἐν τισιν ὑποβρυχίοις ἔβαλλον τόποις ἐπὶ τὸ τεθνάναι καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα. ἐγνώσθησαν δὲ ὅτι ἐν σπηλαίοις ἀπέθανον διὰ τὸ μαντεῖον φανῆναι τὸν τόπον. ἔστι δέ τις παροιμία λέγουσα εἰς τροφωνίου μεμάντευσαι· εἴρηται δὲ ἐπὶ τῶν αγελάστων καὶ ὠχριώντων πᾶς γὰρ κατίων εἰς τὸ μαντεῖον ἐκεῖνο ἀγέλαστος ἀνήει καὶ διαπαντος ὠχριων· ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων ὅτι ὠχριάσαντες καὶ μηδέποτε ἐν τῷ ὑπο-βρυ[χ] γελάσαντες τεθνήκασιν. ἠξιώθησαν δὲ τροφώνιος καὶ γανυμι[δ] ὁ ἄδελφος αὐτοῦ μαντεύεσθαι διὰ τὸ κτίσαι αὐτοὺς ἀπ' οἰκείων χρημάτων τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος τοῦτο καὶ ἀλλαχοῦ φησὶν ὁ θεόλογος τροφ[ω] κατὰ γῆς παιγνία καὶ μαν[τ]. καὶ τελετὰς δὲ οἱ κατιόντες εποιουν ἐν τῷ σπηλαίῳ τροφ[ω] καὶ ὡς χρησμωδηθέντες ἀνήρχοντο ὠχροί.

ibid. καὶ ἀριστεὺς (f. μάντις) τῆς αὐτῆς ὢν πόλεως Λεβαδίας τὰ αὐτὰ τῷ τροφωνίῳ ποιήσας τὸν αὐτὸν ἀπηγάγετο θάνατον.

fol. 176. b. ἀλφιὸς ποταμός ἐστι τῆς ἀρκαδικῆς ἀπερευγόμενος χώρας· οὗτος ὡς ὁ μῦθος ἠράσθη τῆς ἐν σικελίᾳ πήγης τῆς ἀρεθούσης τέμνει οὖν τὸ πέλαγος μὴ μιγνύμενος τῇ θαλάσσῃ καὶ καταντᾷ ἐν συρακούσαις κἀκεῖσε συμμίγνυται τῇ ἀρεθούσηι πήγῃ καὶ μεταξὺ τῶν θαλασσίων ὑδάτων ἀναδίδοται γλυκὺς πόρος ἐκ ταύτης δέ φασιν ἀρκαδίας τὸν ὅμηρον· τυφλὸς δὲ ἦν οὗτος κἀκεῖσε τελευτᾷ τοιῶσδε· [y] ἁλιεῦσι φθειριζομένοις περιέτυχεν καὶ ἠρώτησεν αὐτοὺς οὕτως· ἄνδρες απ' ἀρκαδίης ἁλιητῆρες ἦρ' ἔχομέν τι; οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο οὓς ἔχομεν λιπόμεσθα· οὓς δ' οὐκ ἔχομεν φερόμεσθα· τουτέστι οὓς μὲν φθείρας ἐθηράσαμεν οὐκ ἔχομεν· οὓς δὲ οὐκ ἰσχύσαμεν θηρᾶσαι φέρομεν ἐν τοῖς ἱματίοις· οὐκ ἐνόησε δὲ τὸ λεγόμενον ὅμηρος καὶ μικρὸν ἐκεῖσε γενόμενος ἀπὸ λύπης ἀπέθανε· ἦν δὲ καὶ χρησμος αὐτῷ δοθεὶς τότε θνήσκειν ὅτ' ἂν ἐρωτηθεὶς ἀπορήσῃ:—

ibid. [z] φασι δὲ καὶ τὸν ἀριστοτέλην φυσικὸν ὄντα καὶ πάντα φυσιολογήσαντα ἐλθόντα ἐπὶ τὸν εὔριππον ἀπορῆσαι καὶ βαλεῖν ἑαυτὸν ἐν αὐτῷ ἐπεικόντα ἐπειδὴ ἀριστοτέλης οὐχ εἷλεν τὸν εὔριππον, εὔριππος ἐχέτω τὸν ἀριστοτέλην.

fol. 177. σαρδανία νησός ἐστι περὶ τὴν Ιταλίαν ἐν ταύτῃ παρὰ τὸν ποταμον σπατικὴ

[x] Vide Eudociam, p. 404. Nonnum, p. 128. [y] Nonnus, p. 138. [z] Ib. p. 139.

βοτάνη ἀναφύει ἐν ὁμοιώματι σελίνου. οἱ οὖν ἀγνοοῦντες αὐτὴν οἰόμενοι σέλινον εἶναι ἐσθίουσι καὶ ἀποσπώμενοι θνήσκουσι. φαίνονται δὲ ὡς γελῶντες σπασθέντων αὐτοῖς τῶν παρειῶν καὶ τῶν ὀδόντων ἀπογυμνωθέντων καὶ τοῦτό ἐστι τὸ λεγόμενον τὸ σαρδάνιον ἐγέλασε τουτέστι τὸν κακὸν καὶ ὀλέθριον γελῶτα.

f. 178. ad v. εἰκόνα περ τίοντες (p. 136. c.) fcr. εἰς ἄλλα ἀνγρ αν τ β στι του οὗτοι κ(εἶνται) ὥς κεν ἐπειδώλοισι φέρειν κενεόφρονα λύσσαν ἀλλὰ θεὸν τρομέειν, θεὸν ἄμβροτον αὐτογένεθλον.

f. 180. ad τίς πῆξει φινεὺς Sch. τ π τ φινεὺς ζήλου καὶ θείας ἀποδοχης ῥ. οἱ μωαβιται τὰς ἑαυτῶν θυγ απατην προυβα . . . . λαου. ζαμβρὶ δὲ τῶν ἐγκρίτων τινος ἀρχούσῃ θυγατρὶ συνευνηθέντι προφανῶς οὐκ ενεγκας ὁ φινεες ἀμφοτέρους διεῖλεν ἐν σειρομάστῃ καὶ τὴν ἐκ θεοῦ θραύσιν ἐν τῷ λαω γενομένην ἐξιλασάμενος ἐκόπασεν.

ib. μωσης δὲ παλαι τὸν ἑβραῖον καταπονούμενον ἐκδικήσας ἀνεῖλεν τὸν αἰγύπτιον ζηλω κινούμενος θεϊκῷ· φησὶν οὖν ὁ θεῖος γρηγόριος ὅτι πόρνοι λόγοι κρατοῦσι τουτέστι οἱ τῆς εὐγενοῦς ἀληθείας ἀλλότριοι καὶ γὰρ αὖθις μετὰ τὸ τῆς βασιλι αυτ εκδημῆσαι των αρειομανιτων τινες υπετονθρυζον καὶ τῶν απολιναριου φοιτητων προυπτον εναγοραις ἔνιοι τοὺς ἁπλουστέρους παρέφθειρον ὧν αἰγύπτιον τουτέστι σκοτεινον τὸν λόγον ἀποκαλεῖ δόγμασιν ἑβραίοις τουτέστι θείοις ἀντικαθιστάμενον δυσφορεῖ δὲ ὅτι μὴ παρόντος αὐτοῦ τοὺς τῆς ἀληθείας ἀλλοτρίους οὐδεὶς ἐστιν ἄλλος οἷός τε καθελεῖν.

f. 187. b. Pauca quædam in principio abfciffa. ασκρη τη κωμη ὅθεν ἡσίοδος ὁ ποιητης εἶναι λέγεται· ὑφ' ὧν καὶ ἐμπνεῦσθαι θρυλλῆται· ἑλικόνες δὲ λέγονται κυρίως οἱ μουσικοὶ καὶ ὀρχησταὶ καὶ κιθαρισταὶ καὶ πᾶσι τοῖς τοιούτοις ἠσχολημένοι· ὧν τὸ παίζειν ὡς ἀληθῶς τοῖς εὐλαβέσιν ἀπρεπες. δάφναι δὲ καὶ τρίποδες μανίαι εἰσίν· οἱ κατ' ὑπόθεσιν ἀπόλλῶ ἐπ' απάτῃ σειόμενοι δάφναις αἷς τυποῦσι τοῦ πρὸς δάφνην ἔρωτος τοῦ ἀπόλλωνος τὸ συμβολον.

ibid. [a]ἐπίκτητος φιλόσοφος ἦν οὗτος ἐδέθη τὸ σκέλος ὑπὸ τυράννου λακεδαίμονος καὶ διερρήγνυτο ὕστερον δὲ ἠβουλήθη λῦσαι αὐτὸν ὁ τύραννος ἤρετο οὖν αὐτὸν θέλεις ὦ Επίκτητε λύσω σε· ὁ δὲ ἀπεκρίνατο· τί γὰρ δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδεμένης· διὸ λέγεται μὴ τὸ σῶμα ὁ ἄνθρωπος ὑπάρχειν ἀλλ' ἡ ψυχή.——ὁμοίως ἀνάξαρχος φιλόσοφος ἦν οὗτος συσχεθεὶς ὑπὸ ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ

[a] Eudocia, p. 172. Nonnus, p. 132.

ἐκτίσσετο ὅλμῳ ξυλινῷ πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισάνης τύπτεσθαι· πτισάνη γὰρ παρὰ τὸ τύπτεσθαι πτισσόμενος δὲ τοῦτο ἔφη πτίσσετε πτίσσετε τὸν ἀναξάρχου θύλακον οὐ γὰρ ἀνάξαρχον πτίσσεις οἷα φιλόσοφος δῆθεν τοῦ σώματος μηδένα λόγον ποιούμενος οὐ γὰρ σωματικῶς ἀλλὰ ψυχικῶς ὁρίζεται ἄνθρωπος ἀληθῶς.

f. 189. τὰ βαϐυλώνια τείχη ἐκ πλίνθου οπτου καὶ λυομενου ασφαλτου ἐκτίσθησαν [voces paucæ periere δυ]νασθαι φέρειν ἐπ' αὐτου καὶ ὀχήματα. αἰγύπτου δὲ πυραμίδες εἰσιν ἀρχαίων τάφοι βασίλεων ἔμμετροι κατὰ γεωμετρικὸν κανονα ἱδρυμένοι ὀϐελῶν ἔχοντες τύπον καὶ λίαν ἐπηρμένοι καὶ θαυμαστῶς ὠκοδομημένοι ταύτας δὲ τὰς πυραμίδας τινες καλοῦσιν ορια τοῦ ἰωσὴφ. εισι δὲ καὶ ἑπτάπυλοι ενελλαδι αἱ ὑπὸ ἀμφίωνος καὶ ζήθου ὠκοδομηθεῖσαι διὰ κιθάρας καὶ αλλαι ἐν θήϐαις ἑκατοντάπυλοι ὧν ἴχνη μέχρι νῦν καὶ πύλαι θαυμάσιοι σώζονται.

τῇ δε θραίκη γοτθίαι παρακειται μεταξὺ δὲ κατὰ τὴν στενην τῆς ἀϐύδου θαλασσαν καὶ τὸ πελαγος τὸ ἰωνικὸν ἐξ μηλιων διάστημα ξηρας ἔστιν ὅθεν πολλοὶ τῶν βασίλεων μηχαναῖς τισι τὰς ναῦς ἤλασαν ὡς καὶ κάτων ὁ νέος ῥωμαίων βασιλεὺς πεποίηκεν.

f. 189. b. Pauca quædam abſciſſa: ſequuntur βιαιοτερον δὲ ἀνθρωπόφαγοι [b]τούτων δὲ τρεῖς εἶναι φασι τοὺς ἐξοχοτάτους τὸν βρόντην καὶ τὸν στεροπην καὶ τὸν αργην οὗτοι δὲ φη χαλκεῖς ὄντες τὴν τέχνην διὰ τῆς ἰδίας τέχνης τὴν βροντην καὶ αστραπην τῷ διῒ ⊽ κατεσκεύασαν κύκλωπες δὲ ἐλέγοντο ὡς μὲν ἡσίοδος ὅτι ἕνα μόνον εἶχον

sic

κυκλοφερῆ τὸν ὀφθαλμὸν ὂψ γὰρ ὁ ὀφθαλμός· ὡς δὲ τηλέφατος ὅτι νῆσον τινα ὤκουν κυκλοφερῆ· τούτων ἑνὶ περιπίπτει καὶ ὀδυσσεὺς ἐν τῇ πλάνῃ ὡς ὅμηρος τυφλόττων μυθολογεῖ οὗτος μὲν οὖν ὁ κύκλωψ νυκτὶ μὲν διέτριϐεν ἔν τινι ἄντρῳ μεθημέραν δὲ λίθον μέγαν περὶ τὸ στόμα τοῦ ἄντρου κυκλῶν εἰς τὰ ὄρη ἐποίμαινεν ἔντος δὲ μεθ' ἑτέρων ἰδίων ἔσχε τὸν ὀδυσσέα ἤσθιεν δὲ καθ' ἑκάστην ἡμέραν ἕνα τούτων· ὀδυσσεὺς οἴνῳ μεθύσας ἐκοίμισεν εἶπας τη πιε οἶνον τουτέστι λάϐε πίε οἶνον τοῦ δὲ λαϐόντος καὶ τῷ ξένῳ τῆς πόσεως μεθυσθέντος βακτηρίαν ∴ ∵ ∴ ιστιον ακρον καύσας τω οφθαλμῷ τοῦ

κύκλωπος ἐπιτίθησιν ὃν ἐξορύξας ὑπὸ τὰ μῆλα σὺν τοῖς ὑπολοίποις ἑτέροις κρυφθεὶς ἔξεισι τοῦ σπηλαιου τῶν μὲν ἄλλων κυκλώπων ἐπὶ τῇ βοῇ τοῦ πληγέντος ἀθροισθέντων ὑπ' αυτου δὲ ἀκηκοότων οὖτις με φονεύει καὶ ἀναχωρησάντων οὖτις γὰρ ὀδυσσεὺς ἐρωτηθεὶς ὑπὸ τοῦ κύκλωπος ἔφη προσαγορεύεσθαι.

ibid. [c]Τάνταλος υἷος εἶναι λέγεται τοῦ Διός· οὗτος ὡς Ἕλληνες ληροῦσι τῆς τραπέζης ἀξιωθεὶς τῶν θεῶν ἐδημοσίευσε τὰ κατ' αὐτοὺς οὗ χάριν κολάζεται οὕτως ὑπὸ τοῖς δικαιωτηρίοις τῆς γῆς ἐπιγένει υδασι κεῖται ὑπ' αὐτὸν δὲ πολλὰ καρποφορα κεῖνται πέτρα δὲ

[b] Nonnus, p. 148. [c] Nonnus, p. 171. Eudocia, p. 390.

τούτω ἐπήρτηται φοβερὰ μὴ συγχωροῦσα μήτε φαγεῖν μήτε πιεῖν καὶ οὕτως ἐν μέσω τοῦ ὕδατος τῆ δίψη ξηραίνεται.

ibid. [d]κείρεται δὲ τὸ ἧπαρ προμηθεὺς ἐπειδὴ τὸ πῦρ παρὰ τῶν θεῶν κλέψας ἤνεγκεν εἰς ἀνθρώπους ὡς ὁ μῦθος καὶ περὶ τὰ κρέα τῆς θυσίας ἠπάτησε τὸν δία ὅθεν ὁ ζεὺς ὀργισθεὶς ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ. καὶ τὴν μὲν ἡμέραν ἤσθιεν αὐτοῦ τὸ ἧπαρ· νυκτὸς δὲ ἀμεπληρω . . . .

f. 190. [e] Κολάζετε δὲ ἐν αδη τιτὺς ἐρασθεὶς γὰρ τῆς λιτοῦς ἐκράτησε τοῦ κρηδέμνου αὐτῆς ἀπόλλων δὲ καὶ ἄρτεμις παῖδες ὄντες λητοῦς ἐτόξευσαν αὐτὸν καὶ οὕτως ἐμπεπαρμένος τοῖς βέλεσι κεῖται ἐν τῷ ἅδη.

ibid. οἶμαι τοῦτον τὸν μαρτινιανον περιφανίστατον βίω καὶ τύχη πολυτελῶς ταφῆναι ἠρίω τε μεγαλοπρεπεῖ καὶ ἐνταφίοις πολυταλάντοις· εἰκὸς δὲ καὶ πλουτ ὡς ἔθος τοῖς τηνικαῦτα ἀνθρώποις συγκατορυχθῆναι αὐτὸν διά τοι ταῦτα οἱ ἀπὸ τῶν παρόντων ἐπιγραμμάτων ἐπισκηπτόμενοι φοβοι.

f. 190. b. . . . . . . μυθευομένας ἐν ἅδου κολασεις κατεύχεται τῶν ἀδικῶν αὖθις καὶ ἄλλων μνήμην ποιούμενος καθαδου κολασεων.

ibid. πανοῦργος ὁ σίσυφος καὶ πολλὰ ἁμαρτὼν ὡς ὁ μῦθος εἰς τὸν διὰ· τῷ μὲν αἰσώπω ποταμω τὴν ἣν παρ' αὐτοῦ ζεὺς ἥρπασε θυγατερα δείξας χ^ε^ επι πεντε δεσμεύει τὸν θανατον μηδενος δὲ τοσουτον χρονον ὡς ὁ μῦθος τελευτῶντος λυθεὶς αὐτὸν ὁ θανατος ἀφαιρεῖται γενόμενος ἐν τοῖς αδου δὲ ταύτην ἔσχε τὴν τιμωρίαν λίθον αὐτὸν μέγαν ἀνακυλίειν ὁ ζεὺς προσέταξεν ἐπί τι γεόλοφον ὁ δὲ λίθος ἐν ακρω γενόμενος αὖθις κατεκυλίνδετο ἕως τὸ πέδιον κατελάμβανεν ὁ δὲ σίσυφος τοῦτον πάλιν ἀνάγων μόχθω πολλω διηνεκεῖ τιμωρίαν ὑπέμενεν.

f. 192. χαριτες εἰσι τρεῖς πᾶσιθεα μοῦσαι δὲ ἐκ διὸς καὶ μνημοσύνης εννεα· κλειὼ· εὐτέρπη· θαλια· μελπομένη· τερψιχόρη· ερατω· πολύμνια· ουρανίη· καλλιόπη· ἥτις καὶ προέχει πασῶν ταύτας εἶναι φασιν ἐφόρους πάντος μουσικοῦ ὅθεν τοὺς μὲν λογίους μουσοπνευστους ἕλληνες ἔλεγον ὡς ἡσίοδος καὶ ὅμηρος τὸν παρ' αὐτοῖς ἐπίσημον ὃν υἱὸν ἐφήμιζον τῆς καλλιόπης μουσῶν μὲν ἡ θεόπνευστος γραφὴ οὐδαμοῦ μέμνηται χαρίτων δὲ σολομῶν φασκων στεφανον γὰρ χαρίτων δεξηι σῆι κορυφῆι καὶ κλοιὸν χρύσεον περὶ σῶι τραχηλωι.

f. 192. b. Pauca quædam abſciſſa . . . ὅτι τῶν θεοπνευστων παραλειψιν γραφῶν ἅπερ ἔδοξαν λέγειν ἀπόρρητα· καὶ ταύτην τοίνυν τὴν ἱστορίαν πλάτων ἀπὸ τῆς γενέσεως κλέψας ἐν τῷ φαίδωνι τέθηκεν εἰπὼν γὰρ περὶ τῶν ἐν ἅιδου κολάσεων ἐπάγει ὅτι ἔστιν ἠλύσιον πέδιον καὶ ἀσφόδελοι λειμῶνες τουτέστι σύνδενδροι καὶ πίονες χῶροι οἷς ἔδει

[d] Vide Nonnum, p. 172.

[e] Vide Eudociam, p. 396.

τοὺς καλῶς ἐνταῦθα βιοῦντας ἐνδιατρίβειν ἔνθα τὸν μίνω καὶ τὸν ῥαδάμανθυν ὁ ζεὺς φασιν ἀπέθετο τοὺς ἑαυτοῦ παῖδας ὅτι ὁ μὲν μίνως νομοθέτης ἦν ἄριστος ὁ δὲ ῥαδάμανθυς κρίτης δίκαιος ἠλύσιον δέ ἐστι οἱονεὶ ἀλύσιον καὶ ἀπολύσιον ἀσφόδελος δὲ φυτου τινος εἶδος οὐ φαυλὴν ὀσμὴν ἔχοντος.

fol. 196. b. Quædam abſciſſa. ᾔτει τὸν πατερα το πυρινον ἡνιοχῆσαι ἅρμα καὶ λάμψαι τοῖς ἀνθρώποις· οὐκ ἰσχύσας δὲ, οὐδὲ τὴν κατὰ τάξιν πορειαν εὑρηκὼς διανύσαι κεραυνωθεὶς ὑπὸ διὸς ὡς ὁ μῦθος ἐξερρίφη ὡς δέ τινες ὅτι ὑπὸ τῆς ἀμέτρου φλογὸς τοῦ πυρινου ἅρματος κατεκάει· τὰς τοίνυν τούτου πενθούσας οἰκτρῶς ἀδελφὰς ἐλεήσας ὁ ζεὺς εἰς αἰγήρους μετέβαλεν αἵτινες καὶ μετὰ τὸ δενδρωθῆναι δακρύειν ἤλεκτρον λέγονται ἐν τῶ πακτωλω (ſic) ποταμῶ.

ibid. ἡ δὲ νιόβη ἓξ υἱοὺς καὶ ἓξ θυγατερας ἰσχηκυῖα κατεκαυχᾶτο τῆς λητοῦς ὡς αυτη μὲν δύο τέτοκεν τῶ διὶ ἡ δὲ ιβ̄. ἀνθ' ὧν ὀργισθέντες οἱ τῆς λητοῦς ἀπόλλων καὶ ἄρτεμις τοὺς ταύτης ιβ̄ παῖδας ἀπέκτειναν. ἡ μὲν οὖν τῶ πένθει κατείχετο· ταύτην ὁ ζεὺς οἰκτειρήσας ἐκείνους μὲν ἔθαψεν ταύτην δὲ εἰς λίθον μετέβαλεν ἧς ἀπὸ τῶν ὀφθαλμῶν πήγας δακρύων ἐκρέειν φασι μεχρι νῦν ἑλλήνων οἱ σοφοι παραληροῦντες ὧν πρῶτος ἐστιν ὅμηρος σκαιογράφος.

fol. 201. b. Pauca abſciſſa. ο κριτ τίκτει υἱοὺς ἐκ δὲ παλλακης τὸν ιεφθαε· οὗτος ἀμφοτεροδέξιος ἦν ανηρ σοφος καὶ δυνατος καὶ χαριτος πλήρης τοῦτον ὡς ἐκ παλλακης οἱ αδελφοι ἀπωσάμενοι τῆς πατρώας ἐκβάλλουσι κληρονομίας ὁ δὲ πορευθεὶς ἐπ' ἀλλοδαπην ᾤκησεν πολέμου δὲ τῶν αμμανιτων επιφυεντος ἐκ περιστάσεως οἱ αδελφοι σὺν τῶ λάω τοῦτον αὐτοῖς ἀμύναι λιπαροῦσιν· ὁ δὲ πολλὰ πρότερον τῆς ἀκρίτου γνώμης χάριν αὐτοῖς ὀνειδίσας πείθεται καὶ τοῖς ὑπεναντίοις πρότερον ὑποχωρῆσαι διαστέλλεται· ἀπειθοῦσι δὲ θυσίαν προσαγάγειν τῶ θεῶ εὔχεται πᾶν ὅτι πρῶτον συναντήσοι ἐξιον τῆς οἰκίας ἑαυτοῦ . . τῶν πολεμίων περι . . ηται κρατήσας δὲ τῶ πολέμω ἐπάνεισι μετὰ νίκης αὐτῶ δὲ θυγάτριον μονογεν παρ[θ]ὲ[ν] ἦν ὅπερ μπανιζόμ[ε]· ει τῆς οἰκίας πρό ὅπερ λαβὼν ὁ ιρ̄ εθυσεν ιεφθαε πολλὰ πρὸ τούτου δακρύσας καὶ μεχρὶ νῦν ταῖς παρθένοις ιηλ εἰς μνημόσυνον ἐτήσιον τὸ πένθος λιπών.

13. Codex formæ minoris, chartaceus, in principio tineis exeſus, ff. 189.

Continet Cantica ſacra, cum notis muſicis, eccleſiæ Græcæ ritibus inſervientia.

Incipit MS. ἀρχὴ σὺν θω̄ ἁγίω τῶν σημαδίων . . . . . . ψαλτικῆς τεχνῆς τῶν τε ἀνοιόντων καὶ κατοιόντων· σωμάτων τε καὶ πν . . . . πάσης χειρονομίας . . . . . τε-

θημέναι εἰς αὐτὴν——————καιροὺς ἀναδειχθέν . . . . τῶν παλαιῶν τε καὶ νέων. Αρχὴ μέση τέλος καὶ σύστημα πάντων τῶν σημαδίων τὸ ἴσον ἐστὶ. κ. τ. λ. Syllabæ, quarum ſedes punctis notantur, dudum periere. Ad imum fol. 8. b. le-
+
gimus, ΓαΒΡιηΛ ΝΚΛ :—

f. 9. ἀρχὴ σὺν θεῷ ἀγ′ τοῦ μεγάλου ἑσπερινοῦ ποιηθέντος παραδιαφόρων ποιητῶν
ὸ ʼ ʽ λ
παλαιῶν τε καὶ νέων· ἄρχεται ὁ δεξιὸς χορ· ἡσύχω φω ἦχ πδ.

14. CODEX formæ minimæ, bombycinus ff. 409.

Cantica quædam ſacra complectitur, notis muſicis inſtructa, in eccleſia Græca adhiberi ſolita.

15. CODEX formæ minimæ, ff. 256, membranaceus, vetuſtus, pulcherrime exaratus.

Inc. f. 1. τὸ μὲν δὴ οὖν ψαλμὸς δᾱδ γενικῶς εἰρημένον·
ἐν ἄλλοις δὲ ψαλμὸς δᾱδ δοτικῶς λελεγμένον·
ἔχει τινὰ διαστολὴν ἣν ἑρμηνευτέον·
ὅπου μὲν γὰρ ψαλμὸς δᾱδ γενικῶς προεγράφη,
αὐτὸς ἐκεῖνος ὁ δᾱδ συγγραφεὺς παρεισῆκται.
ὅπου δὲ κεῖται δοτικῶς ἄλλος μὲν ὁ συγγράψας·
ἀνήνεκται δὲ τῶι δᾱδ ὥσπερ ἀνάθημά τι :—

ά ã
f. 1. b. Δψ. πρὸς τούτοις μάθε τί δηλοῖ ἡ τῶν διαψαλμάτων
φωνὴ κειμένη τῶν ψαλμῶν ἐνίως καὶ πολλάκις·
ἔστι δὲ τὸ διάψαλμα μεταβολή τις μέλους·
ἐν γὰρ ὀργάνοις μουσικοῖς τῶν ψαλμῶν λεγομένων
πολλάκις μεταβάλλονται εἰς ῥυθμοὺς διαφόρους·
ὡς ἐν χορδῇ ὡς ἐν φωνῇ τῶν μελῶν αἱ συνθέσεις.
ἢ νοήσον διάψαλμα μεταβολὴν προσώπου·
μελῳδουμένου γὰρ ψαλμοῦ πρός τινος χοροψάλτου,
fol. 2. ἕτερος ὑπεδέχετο τούτου τὴν ἁρμονίαν.
ἢ διάψαλμ᾽ ὠνόμασται τὸ διάλειμμα τάχα :
γρηγόριος δ. ὁ νυσσαεὺς ἄλλην αἰτίαν λέγει·
ὡς ἄνωθεν τοῦ πν̄ς ἀεὶ χορηγουμένου
ταῖς τοὺς ψαλμοὺς συγγράψασι πρὸς δὲ καὶ μελῳδοῦσιν.

ἐγίνετό τις ἔλλαμψις κρείττων καὶ θειοτέρα,
πρὸς ἣν ὁ μύστης ἵστατο ὥσπερ ἐκπεπληγμένος·
ταύτην τοίνυν τὴν μεταξὺ τῶν μεμουσουργημένων
fol. 2. b. ἢ τομὴν ἢ διάλειμμα ἢ μέλους ἡσυχίαν
ὁ λόγος κατωνόμασε διάψαλμα πανσόφως.
οἱ [-]ὲ σὲλ ἐπιγράφουσιν ἀντὶ διαψαλμάτων·
ἑβραϊκὴ δ' ἡ συλλαβὴ. δηλοῖ δ' ἀειλογίαν·
δηλοῖ δὲ τὰς τοῦ πνς ἀειρρύτους ἐλλάμψεις·
κἂν γὰρ μικρὸν ἐπέπαυτο τῶι ψαλμωδῶ τὸ μέλος,
ἀλλ' ἡ πνικὴ φθογγὴ ἦν ἀεὶ φωνουμένη.

Superiora literis rubris deauratis minoris formæ exarata. Sequentia, ſi titulum excipias, majuſculis ſcripta ſunt, et his quidem deauratis, accentibus ubique accurate poſitis.

fol. 3. στίχοι ἡρωικοὶ εἰς τὸ ψαλτήριον.
δέρκεο πᾶς σοφίης πολυήρατον ὄλβον ἐχούσης
βένθος ἐς ἄντα ἰδὼν ἐρικυδέος οἴμης κεδνῆς
δᾶδ γὰρ μελίγηρυς ἔχειτ' ἐροέσσαν ἀοιδὴν
fol. 3. b. θελξίνοον πραπίδεσιν ἰδ' οὔασι δῶτορ' ἐάων
οὐδὲ γὰρ ἕν τι κέκευθεν ὀνήσιμον ἔνδοθι μοῦνον
ἀλλὰ νύτ' αἰολόμητιν ἀνοίγνυσι κάρτατον οἶμον
πρῶτα γὰρ ἱστορίη πινυτὸν νόον ἔργμασι φαίνει
fol. 4. ἣν ἐθέλῃς πολύιδριν ἔχειν νόον ἱστοριάων
αὐτὰρ ἔπειτ' ὀφέλει ἐνὶ ἤθεσι πᾶσιν ἐρωήν
ἴσκει πάντα ἐόντα τάτ' ἐσσόμενα πρό τ' ἐόντα
τόσσον ἄρ' ἔπλετ' ὄνειαρ ἐνὶ βροτέησι γενέθλαις
fol. 4. b. ἀλλὰ κύδιστε μέγιστε μεγασθενὲς ἄφθιτε σῶτερ
αὐτὸς ἄρ' ἡγεμόνευε τεῶι θεράποντί γε μάρκωι
ἀτρεκέος βιότοιο κατὰ στίβον ὡς ἀγορεύει
πυκτίδος εὐφραδέως ἱερὸν μέλος ἐκ σέθεν αἴγλης
fol. 5. δαυίδου πινυτῇ τι θεηγορίῃσιν ἀρίστου
αὐτὰρ δ' ἀμφιέποντα δίδου περικαλλέα δῶρα
οὐνὸν ἀστερόεντα καὶ ὄλβιον ἄμβροτον αὖθις
χῶρον ἀριπρεπέα ξυνὸν οἷς ἐσάωσας ἐόντα :—

fol. 5. b. Poſt ornamenta quædam, quæ flores vocant typographi,

ἡ δαυϊτικὴ τῶν μελισμάτων χάρις
τῶν πνικῶν ἀσμάτων ἡ τερπνότης
πασῶν πέφυκε τῶν γραφῶν ἡδυτάτη
λυσιτελῶς τε θυμαρὴς καὶ θελξίνους
ἅμα μὲν ἱστορεῖ γὰρ εὖ τὰ τῶν πάλαι
ἅμα δὲ καὶ προρρήσεων θείων γέμει
βυθὸν προφαίνει τῶν ἀκραιφνῶν δογμάτων
fol. 6. θεηγοροῦσα τὰς φρένας καλῶς τρέφει.
θυμὸν μαλάσσει, τὰς ὀρέξεις ἀμβλύνει
εὐχῆς διδάσκει καὶ μετανοίας τρόπους
πενθεῖν ἀσιτεῖν ἀγρυπνεῖν τρύχειν δέμας
καὶ πᾶν τὸ σῶζον πρακτικῶς ὑπογράφει
διπλῆν προφάσκει τὴν ἔλευσιν τοῦ λόγου
πῆ μὲν προσιτὴν ὡς βροτοῖς ἡνωμένου
πράως προσηνῶς, πῆ δὲ φρικωδεστάτην
fol. 6. b. καὶ πυρπολοῦσαν δυσμενεῖς ἄρδην πέριξ
ἀλλ' ὦ προφῆτα καὶ βασιλεῦ καὶ τόκου
καὶ νοῦ προπάτορ ὡς ἔχων παρρησίαν
λιτὴν κινοίης πρὸς τὸν ἐκ σῆς ὀσφύος
σ̄ρα χ̄ν τὸν δότην τῶν λωιόνων
κἀμοὶ γενέσθαι βρωτὸν ἡδὺ καὶ πόμα
ῥύψιν τε νύκτωρ δεμνίων ἄσης πλέων
καθημερινὸν ἁγνὸν ἐκ ψυχῆς δάκρυ
fol. 7. καὶ θρῆνον οἰκτρὸν καὶ στεναγμὸν βυσσόθεν
ὡς ἂν δι' αὐτῶν σὺν θῶι τὰς κηλίδας
σμήξας, κάμινον τῶν παθῶν ἀποσβέσω
καὶ λήξεως τύχοιμι τῶν σεσωσμένων
τάλας πενιχρὸς οἰκτρὸς ἠὐτελισμένος
φαῦλος πιναρὸς καρδίαν ἐστιγμένος

μάρκος ταπεινὸς ἔσχατος μονοτρόπ
εὔχοιο τῆδε τῶ γράφει πᾶς τις ἄδων :—
fol. 7. b. Poſt ornamenta ut ſupra,
ἴσως βλέπων τις τήνδε τὴν σοφὴν βίβλον
πολυτελῶς μὲν ἐντὸς ἠγλαϊσμένην

παγκοσμίως δ' ἔξωθεν ὡραϊσμένην·
ἐγκαλέσειε τῷ πόθῳ τετευχότι·
μάλιστα δ' ὄντι καὶ μοναστῇ τὸν τρόπον·
ὡς δὴ περιττὰ ταῦτα κακίζειν θέλων
τί γὰρ τυχὸν φράσειε χρυσὸς εἰς βίον
fol. 8. καὶ λεπτότητες ὑμένων καὶ γραμμάτων
καὶ χρυσομορφόγραφος αὐτῶν ἰδέα.
ἐξ ἀργύρου τε κλεῖθρα κεχρυσωμένα·
καὶ φαιδρόμορφον ἄμφιον τοῦ βιβλίου.
ὄνησιν εἰσφέροιεν εἰς ἀσκουμένους.
ἀλλ' ἄν περ ἦ τέλειος ὃς ταῦτα βλέπει·
οὐ στήσετέ γε μέχρι τῶν ὁρωμένων·
οὐδ' ἐγχρονίσει τῇ κάτω θεωρίᾳ:
fol. 8. b. κἂν οὐκ ἀπεικὸς τὸν μέγαν ὑμνογράφον·
τὸν πάνσοφον νοῦν καὶ καθωραϊσμένον·

θ
καὶ τοῖσδε κοσμεῖν τοῖς ὑλικοῖς ἐκ πό
ἀλλ' ἦ μὲν ἐχρῆν θαυμάσει καὶ τὰς ὕλας
ὡς κτίσμα καὶ ποίημα τοῦ παντεργάτου
/ὃς πάντα ποιεῖ πανσθενῶς καὶ πανσόφως
ἄργυρον ἐκ γῆς ὑμένας δ' ἐκ ποιμνίων
ἐκ δ' αὖ γε σηρῶν καὶ βαφῆς θαλαττίας·
fol. 9. ὕφασμα λαμπρόμορφον ἠγλαισμένον
ὅλον δὲ τὸν νοῦν ἐμβαθύνας τοῖς ἔσω
τοὺς ψυχοκερδεῖς θηράσω μόνον λόγους
καὶ ταῖς προσευχαῖς ἐνδιατρίψει πλέον·

τρυγῶν ἀληθῶς ψυχικὴν σ͂ρίαν
καὶ τὴν ἄνω φέρουσαν ἀπλανῆ τρίβον
εὐθυβόλως μάλιστα βαδίζων τάχει:

fol. 9. b. εὐθὺς πρὸς αὐταῖς | ταῖς θύραις τοῦ πτυκτίου

φαιδρῶς προλάμπει | σταυρικοῦ τύπου σέλας:

fol. 11. δᾱδ τὸ πρῶτον ἆισμα τῶν ψαλμῶν βάσις + ἀλληλουΐα.
Sequuntur Pſalmi 150.
f. 129. b. poſt Pſ. 76. ſequuntur iambi 21, quorum primus eſt ἀρχῆς ἀπ' ἄκρης καὶ τέλους μέσον τόδε.
f. 230. οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ δᾱδ· καὶ ἔξωθεν τοῦ ἀριθμοῦ· ὅτε μονομαχήσας ἀνεῖλε τὸν γολιάθ:
f. 231. τοῦ διαψάλματος τὴν ἐπιγραφὴν ἄλλοι μὲν ἄλλο σημαίνειν εἰρήκασιν κ. τ. λ.
f. 231. b. Inter ornamenta ſequentes reperiuntur verſus literis majuſculis exarati,

τὴν ψυχοτερπῆ τῶν γραφῶν κορωνίδα
τὴν μυστικὴν φόρμιγγα δαυΐδου λέγω·
εὖ συμπεράνας σῆ χάριτι χ̅ε̅ μου
ᾠδῶν ἐσαῦθις ἅπτομαι τῶν ἐνθέων.

His ſubjiciuntur Cantica quædam S. Scripturæ, quorum titulos, verſibus Iambicis conſcriptos deinceps addam:
f. 232. ἄρδην βυθίσας φαραὼ μωσῆς λέγει: Exod. xv.
233. b. νόμου γραφέντος αὖθις ᾠδὴ μωσέως: Deuteron. xxxii.
238. b. θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως: 1 Reg. ii.
240. τὴν τοῦ λόγου κένωσιν ἀββακοὺμ ᾄδει. Habac. iii.
242. ἠσαΐου πρόρρησις εὖ τὸ πλέον. Iſ. xxvi. 9.
243. b. ἐκ θηρὸς ἐκραύγασεν ἰωνᾶς λέγων. Jon. ii. 3.
244. αἶνος φλόγα σβέννυσι τῶν τριῶν νέων. Cantic. tr. p.
248. τὸν δεσπότην ὕψωσεν ἡ κτιστῶν φύσις. Ibid.
249. τὸν υἱὸν ὑμνεῖ καὶ θ̅ν̅ μ̅ή̅ρ̅ κόρη. Luc. i. 46.
249. b. ὁ ζαχαρίας εὐλογεῖ παιδὸς τόκω. Ibid. 68.
250. b. τὸν ἐζεκίαν εὐλογοῦντά μοι σκόπει. Iſ. xxxviii. 10.
252. σωθεὶς μανασσῆς τὸν θ̅ν̅ μεγαλύνει.
Pauca quæ ſequuntur folia Calendarium exhibent, cujus priora verba ſunt ἔτους ς̅φ̅ π̅ς̅ ἰν ᾱ &c. &c.

16. CODEX formæ minimæ in membranis ff. 130. Tabula eorum quæ in hoc libro continentur partim ex nota in principio libri ſubjicitur.

I. τοῦ φιλῆ περὶ ζώων ἰδιότητος διὰ στίχων.

II. τοῦ αὐτοῦ ἐπιγράμματα ἐκ τοὺς δώδεκα μῆνας. f. 54.
III. λεξικὸν τριῶν κανόνων κατὰ ἀλφάβητον. f. 55. b.
IV. τοῦ βουλγαρίας ἐπίγραμμα εἰς τάφον. f. 59.
V. ἐπίγραμμα εἰς τοὺς ἑπτὰ σοφούς. ibid.
VI. ἐπίγραμμα εἰς φίλον δύστρεβλον. f. 59. b.
VII. λεξικὸν γραμματικόν. ibid.
VIII. Ηροδότου λέξεις. f. 67. b.
IX. περὶ παραδόξων ἀναγνωσμάτων. f. 73.
X. Γαληνοῦ περὶ σφυγμοῦ πρὸς ἀντώνιον. f. 74. b.
XI. σύνοψις τῶν διαχωρημάτων. f. 83. b.
XII. ἄλλη σύνοψις τῶν οὔρων. f. 84. b.
XIII. πασίωνος μηλίνη ἀθανασία f. 85. μαλακτικὸν πανθαύμαστον. f. 86.
XIV. ἐπιστολὴ ἱπποκράτους πρὸς πτολεμαῖον f. 88. b.
XV. στίχοι εἰς τὰ ιβ ζώδια f. 94. b.
XVI. Γαληνοῦ περὶ ἐβένου 95.
XVII. στοιχεῖα ἤγουν γράμματα ἑβραϊκὰ γραφέντα ὑπὸ τοῦ δεσποτου χῦ.
XVIII. προς ἰσχιαδικοὺς f. 96.
XIX. ἐπίθεμα ἰσχιαδικοῖς καὶ ἀθριτικοῖς παραχρῆμα ὠφελοῦν. 96. b.
XX. εἰς ὀδύνην πλευροῦ f. 97.
XXI. περὶ τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν f. 100. b.
XXII. περὶ αἰδοῦς 102. περὶ μειδιάματος 102. b.
XXIII. γράμματα ὠφελοῦντα εἰς ῥεῦσιν αἵματος ἐκ τῆς ῥινὸς 102. b.
XXIV. ἐπιγράμματα εἰς ιγ ἄθλους τοῦ Ηρακλέους 103.
XXV. Scholion de Empedocle &c. 103. b. v. Greg. Naz. fupr. p. 51.
XXVI. περὶ τῶν θεοφανειῶν τῷ Ἀβραάμ 104.
XXVII. Ἑρμήνεια εἰς τὸ "αθέτησις μὲν γὰρ γίνεται κ. τ. λ. Hebr. vii. 18. f. 106.
XXVIII. Νικηφόρου πριαρχ κωνσταντινουπόλεως περὶ ὀνείρων κρίσεως διὰ στίχων ἰάμβων κατὰ στοιχεῖον f. 107. b.
XXIX. Κανὼν παρακλητικὸς εἰς τὴν θεοτοκὸν κατα αβ'. f. 121.
XXX. περὶ μίσυος κυπρίου μετάλλου f. 128.
XXXI. περὶ λίθων τῶν εὑρισκομένων ἐν κύστει f. 128. b.
XXXII. τὸ τοῦ θεοῦ τετραγράμματον ὄνομα ἑβραϊστί 129.
XXXIII. περὶ φθόνου 129.
XXXIV. εἰς κεφαλαλγίαν 129. b.

17. CODEX Chartaceus in folio, ſcriptus a. 1461.
Vocabularium Latinum. Deeſt folium in principio. Ad imum p. 1. legitur "Pro conventu Egenburgenſi PP. Franciſcanorum. Ad Bibliothe-"cam ejuſdem conventûs lit. O. Num. 148."

18. Codex membranaceus in folio.
Raymundus de caſibus. In principio legitur, "Iſtum librum teſtatus
"eſt dn̄s michahel. alias cappellanus in verchoff ad ecc̄lam ſt̄i nicolai
"mſt̄am (q) ob memoriam anime ſue qui obiit iii die Sancti Amandi con-
"feſſoris anno dni m° cccc^mo qr̄to cuj⁹ aīa requieſcat in pace."

19. CODEX chartaceus in folio.
Libri Novi Teſtamenti, et Prophetæ tam majores quam minores, cum Prologis. Latine.

20. CODEX membranaceus pulchre exaratus ff. 154.
Auli Gellii Noctes Atticæ. Græca a diverſa manu margini adſcribuntur.

21. CODEX membranaceus luculenter exaratus ff. 200.
M. T. Ciceronis Orationes in Caium Verrem.

22. CODEX membranaceus ff. 140.
Justini Hiſtoria.

23. CODEX membranaceus in folio ff. 61.
L. Annæi Senecæ flores, et notabilia dicta ex ejus operibus excerpta.
In fine: Explicit liber Afflorationis ſive ſummarii cōpoſitus a magiſtro
Vivamo de Concif. p. manus Alberti de ſtabulo de alamania.
Anno dn̄i mil̄l̄o cccc°. xlvi°. ipā xi. die decembris. laus criſto.

24. CODEX membranaceus in quarto ff. 287.
Ciceronis Epiſtolæ ad Diverſos.

In fine: Gentilis poeta civis et notarius hasce eplas feliciſſime complevit die viiii Auguſti 1449.

25. CODEX membranaceus in quarto ff. 381.

C. J. Cæsaris commentarii de Bello Gallico f. 1—169. b.

———— de Bello Civili f. 169. b—281.

A. Hirtii aut Opii commentarior. de bello Alexandrino f. 281. b—317.

———— de Bello Aphrico f. 318—361.

———— de Bello Hiſpanienſi f. 361. b—381.

26. CODEX membranaceus in quarto ff. 41.

Pomponii Melæ Coſmographiæ libri tres.

27. CODEX Chartaceus in quarto ff. 111.

Hyſtoria Alexandri Magni f. 1—28. Incipit: *Sapientiſſimi namque egypti ſcientes meſuram terræ atque undis maris dnantes, et celeſtiu ordine cognoſcentes, ſtellarum curſu coputantes tradiderut ea univerſo mdo per altitudine doctne et p; magicas artes et vtutes.*

Hiſtoria Trojana. f. 28. b. Incipit: *Etſi quottidie recetibus obruat nonulla tn iadudu vetera receſſerunt quæ ſic ſui magnitudie vivaci ſut digna meoria* &c. N.B. Incipit f. 29. cum *hyſtoria Jaſonis. Incipit tractat' de rege Peleo inducete Jaſonem ire ad aureu vellus* &c.

Definit cum Epitaphio Hectoris, cujus ultimi ſunt verſus,

Qm raptu pr infelix auoq; repeſu
Condidit et meres accumulavit humo.

28. CODEX membranaceus pulcherrime exaratus in quarto minore ff. 153.

Pub. Terentii Comœdiæ ſex.

In fine: *Explicit Echirra comedia ſexta et ultima que ſecundum quoſdam eſt quinta, Phormio aut ſexta.*

Afri Terentii comici comediarum liber feliciter explicit. laus deo. Scriptus autem fuit Florentie manu mei Gherardi Johannis Delciriagio civis et notarii Florentini. de anno domini M°CCCCLXVI°. et mensibus maii et junii. Nescio quis male sedulus ultimum C, quo codici suo major accederet auctoritas, scalpello abraserat, ita tamen ut ejus etiamnum planissima exstent vestigia.

29.
30. Missalia.

31. CODEX membranaceus, pulcherrimus, in octavo.

Biblia Sacra, Latine. *Incipit epla sancti jeronymi pbri ad paulinum de omnibus divine hystorie libris*—Deficit codex Evang. Marc. cap. viii. init.

32. CODEX membranaceus, formæ minoris.

Novum Testamentum Latine.

33. Liber impressus.

Les faictz et dictz de feu de bonne memoire Maistre Alain Chartier en son vivant Secretaire du feu roy Charles septiesme du nom. Nouvellement imprime reveu et corrige oultre les precedentes impressions et divise par chapitres pour plus facillement comprendre le contenu en iceulx Adjouste le debat du gras et du maigre que nauroit encores este imprime avec le repertoire des matieres contenues au present volume le tout nouvellement imprime a Paris.

On les vend a Paris en la grant Salle du Palais au premier pillier en la bouticque de Galliot du pre libraire jure en Luniversite.

Mil cinq cens Vingt et six.

Avec privilege.

In fine: *Fin du present volume contenāt les faitz et ditz de feu maistre Allain Chartier nouvellement veu et corrige. Imprime a Paris par Anthoine couteau imprimeur pour Galliot du pre libraire demourāt audit lieu et fut acheve le dixiesme jour de Juillet Mil cinq cens xxvi.*

34. CODEX membranaceus.

Extraits des ouvres de M. Alain Chartier : viz.

1. *Le Curial.*
2. *Complainte treſpiteuſe.* (v. edit. n. 33. fol. cvi.) et pauca alia.

35. CODEX membranaceus.

1. Evangelium S. Matthæi Latine cum gl. et comment. Definit c. xv. 30.
2. Excerpta ex legibus Moyſis, Latine, cum gl. et comment. in principio.

36. CODEX membranaceus ff. 134. per columnas haud ineleganter ſcriptus, initio et fine mutilus, continens Orationes quaſdam Gregorii Nazianzeni cum commentariis, nondum, quod ſciam, editis, ſed ab illis, Baſilii nomen præ ſe ferentibus, haud paullo vilioribus. Confer locum a Ruhnkenio citatum ad Timæum v. Ἔτνος cum his noſtris f. 68. b. Ἔτνους· ὀσπρίου τοῦ παρ' ἡμῖν λεγομένου κυάμου· ταριχευτοῦ δὲ ὄψου λάρδον ἢ ἀπόκτιν δεῖ νοεῖν.

Incipit f. 1. γὰρ οἰκεῖον ὁ λόγος· διατὶ δὲ ἐν πυρίναις. e Commentario in Orationem εἰς τὴν ἁγίαν πεντηκοστὴν. Textus incipit ibid. τοῦτο ἐκηρύχθη μὲν— Ed. Bill. T. i. p. 714. A.

f. 6. b. τοῦ αὐτοῦ εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν. Τίς ἡ τυραννὶς. Ed. Bill. T. i. p. 149.
Inter ff. 6. et 7. periere ff. duo, vel fortaſſe etiam plura, verba Gregorii complectentia a παραχωρῆσαι p. 150. A. ad τάχα ἂν εἴποιτε p. 155. B.
f. 14. τοῦ αὐτοῦ εἰς τὰ ἅγια θεοφάνια. Χρίστος γεννᾶται. T. i. p. 613. Definit f. 36. b.
Inter ff. 36. 37. periit folium complectens Gregorii verba ab initio Orationis funebris in S. Baſilium ad ἐνευδοκιμεῖν ὑποθέσεως p. 316. D.
Inter ff. 37. 38. periit folium complectens Gregorii verba ab ἔργῳ δεδηλωκόσι p. 317. B. ad τοῦτο λέγειν ὅτι καὶ ibid. C.
Inter ff. 40. 41. periit folium complectens Gregorii verba a Μαξιμίνου ὃς p. 319. B. ad λίαν ἐπικινδύνως p. 320. B.
Inter ff. 51. 52. periit folium complectens Gregorii verba a τῶν λημμάτων p. 327. c. ad παραλιπεῖν ἄξιον p. 328. c.

Inter ff. 77. 78. periere circiter duo folia, Gregorii verba τὴν μὲν κοινωνίαν— p. 351. A. ad εἰρημένων οὐκ ἔλαττον p. 352. A. complectentia.
Definit Oratio in Basilium p. 101. b.

f. 101. b. τοῦ αὐτοῦ λόγος εἰς τὰ ἅγια φῶτα. Πάλιν Ἰς ὁ ἐμός. Ed. T. i. p. 624.
f. 118. b. του αὐτοῦ εἰς τὸ βάπτισμα. Χθὲς τῇ λαμπρᾷ—Definit textus f. 133. b. λάθης (male ed. μάθης) τὰ τοιαῦτα σοφιζόμενος. Ed. p. 652. A. Commentarii ultima sunt ἔχουσι γάρ τι πλεῖον τὴν ἐργασίαν οὐ γὰρ ὥσπερ τῶν— Multa deesse puto in fine. E principio, quantum ex registri numeris conjicere licet, avulsa sunt folia circiter 82.

37. CODEX membranaceus, formæ maximæ, vetustus, luculenter exaratus, continens opera DIONYSII AREOPAGITÆ cum scholiis S. Maximi fere integris hoc ordine.

Indices et Procemia 2—9.
περὶ θείων ὀνομάτων 9. b—81.
περὶ τῆς οὐρανίου ἱεραρχίας. 81—114.
περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας 114. b.
N.B. post f. 132. b. avulsa sunt duo folia olim continentia ab ἐπειδὴ καὶ νῦν p. 113. D. ed. Paris. 1615. ad p. 118. D. ἱερῶς τελουμένοις.
περὶ μυστικῆς θεολογίας 146. b—149. b.
ἐπιστολαὶ δέκα. 149. b.—163. b.
Φίλωνος περὶ τῶν ἐκ περιτομῆς πιστευσάντων ἐν αἰγύπτωι χριστιανῶν ἅμα καὶ μοναχῶν. ἐκ τοῦ ἐπιγεγραμμένου αὐτῶι λόγου περὶ βίου θεωρητικοῦ· ἢ περὶ ἱκετῶν. f. 164. a—165.
Ἑρμηνεία λέξεων κατὰ στοιχεῖον ἐμφερομένων τῆιδε τῆι βίβλωι τοῦ ἁγίου διονύσου 165. b—168.
fol. 168. b. ἀνιερώθη τὸ παρὸν βιβλίον εἰς τὴν σεβασμίαν μονὴν τῶν μαγγάνων παρ' ἐμοῦ τοῦ μοναχοῦ [a]γαβριὴλ εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν· εἴ τις δὲ ἀφαιρήσεται ταύτην ἵνα ἐπισπάσηται τὰς ἀρὰς τῶν θεοφόρων πατέρων καὶ ἐμοῦ τοῦ ἁμαρτωλου γαβριὴλ μοναχοῦ τοῦ οἰκονόμου.

[a] Fol. 9. et a recentiore manu f. 1. versus hi sequuntur, numeris politicis:

ἡ βίβλος ἥδε γαβριὴλ μοναστρόφου
ἣν καὶ ἀνατίθησι τῇ σεβασμίᾳ
μονῇ μαγγάνων μάρτυρος Γεωργίου
εἰς ἄφεσιν μὲν τῶν πρὶν ἡμαρτημένων
τοῦ γοῦν ἀφαιρήσοντος ἐκ ταύτης κρύφα
πυξίδα τήνδε ἐκ μονῆς τῶν μαγγάνων
ἀρὰς φρικώδεις λήψεται τῶν ἁγίων
σὺν ταῖσδε τοῦ μάρτυρος οὗ μέγα κλέος.

μετὰ τὴν ἀνάλωσιν (q.) τοῦ μοναστηρίου τῶν στροφαδίων ἠγοράσθη τὸ αὐτὸ βιβλίον ἐν τῇ πόλει τῆς ναυπάκτου εἰς ας ο῀. ὅταν δὲ ἐζητήθη μετὰ τὴν σύναξιν καὶ ἀνακαίνησιν τοῦ μοναστηρίου εὐεργέτησαν αὐτὸ ὄπισθεν οἱ ἀγοράκοτες αὐτὸ ὅτι κυ νικο ὁ γλαρέας καὶ εὐταξίας καὶ κυ γιωρ ὁμποτέρης εἰς ψυχικὴν αὐτῶν σωτηρίαν καὶ διὰ τὸν θεὸν εὔχεσθαι αὐτοῖς. (Confer quæ ſcripta ſunt fol. 48. b.) τὸ παρὸν θεῖον καὶ ἱερὸν βιβλίον ὑπάρχει ὀνουφρίου χαισαρει τοῦ ἀκροκοντίλου.

38. CODEX membranaceus formæ maximæ ff. 319. per columnas luculenter exaratus, continens Homilias S. Chrysostomi in S. Matthæum i—xli. a p. 1. ad p. 275. 24. T. ii. Ed. Savil. ὥσπερ οὖν ἐὰν μὴ σὺ μή. Sed deſunt in codice folia quædam: E. g. inter ff. 7. 8. deſunt ab ἀλλόφυλος ed. Sav. p. 6. 22—ad φέρουσαν p. 7. 11.—Inter ff. 21. 22. deſunt p. 17. 29. ἀχρείους ad p. 18. 16. κατωρθωκέναι. Inter ff. 117. 118. deſunt a πενίας p. 85. 21—ad p. 91. 4. ἐκεῖνοι μὲν. Inter ff. 125. 126. deſunt ab ἔδωκαν τῷ Κυρίῳ p. 96. 40. ad αὐτοῖς παρέχεται p. 97. 28. Inter ff. 131. 132. deſunt ab ἀλλ' ἐπειδὴ p. 102. 4. ad ὅταν πάντα ibid. 35. Inter ff. 277. 278. deſunt ab ἁπάσης τῶν ἀπείρων p. 228. 38.—ad διαδέξονται p. 229. 33. Inter ff. 298. 299. deſunt ab συνεθλάσθησαν p. 248. 6. ad p. 255. 5. Ἀποστόλοις. Inter ff. 311. 312. deſunt ab ἀπανθρωπίαν p. 266. 23. ad προσήνεγκαν αὐτῷ p. 268. 20.

39. CODEX membranaceus ff. 418. anno 896. exaratus.
Platonis [a] Dialogi XXIV. hoc ordine:

α. — α. εὐθύφρων ἢ περὶ ὁσίου: πειραστικός. f. 1. a.
β. ἀπολογία σωκράτους: ἠθικός. 8. a.
γ. κρίτων ἢ περὶ πρακτοῦ: ἠθικός. 20. b.

[a] In principio libri inſeruntur duo folia ſatis eleganter ſcripta ſed a manu aliquot ſeculis juniore profecta. Prius, quod elemento A. ſignavi, incipit μένειν· ὅτι μὲν οὖν οὔτι μία—definit ἡ μουσικὸν ἄνευ· τούτων δή. Verba ſunt Ariſtotelis περὶ φυσικῶν ἀκροάσεων Lib. i. c. 6. 7. P. 16. 7—18. 2. ed. Sylburg. Poſterius, B. ſignatum, incipit διαλῦσαι, τὸν δ' ἀντιφῶντος—definit ἀμφότεροι γάρ. Ibid. c. 2. 3. p. 6. ult —8. 23. Ad marginem ſcholia adſcripta ſunt.

In fine : ἐγράφη χειρὶ ἰω καλλιγράφου.
εὐτυχῶς ἀρεθαι διακόνωι πα
τρεῖ. νομισμάτων βυζαντί
ων δέκα κ(αὶ) τριῶν. μηνὶ νοεμ
βρίωι ἰνδικτιῶν ΙΔ. ἔτει κόσμ
ϛΤΔ βασιλείας λέοντος τοῦ φι

f. 8. b. p. 18. B. οὗτος ὁ ἄνυτος ἀνθεμίωνος ἦν υἱός ἀθηναῖος γένος ἀλκιβιάδου ἐραστὴς πλούσιος ἐκ βυρσοδεψικῆς ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σωκράτους διὰ .... μέμνηται λυσίας ἐν σωκράτους ἀπολογίαι καὶ ξενοφῶν ὁμοίως· καὶ ἀριστόξενος ἐν τῷ σωκράτους βιω . . . . . καὶ ἄρχιππος ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει. Μέλητος δὲ τραγωιδίας φαῦλος ποιητής . . . ὡς ἀριστοφάνης βατράχοις πελαργοις Λαΐου υἱὸν αὐτὸν . . . ἐπεὶ οἱ πελαργοὶ ἐδιδάσκοντο καὶ ὁ μέλητος οιδιποδει ανέθηκεν ὡς ἀρισ . . . . ἐν δὲ γεωργοῖς ὡς καλλιαν . . . αὐτοῦ μέμνηται· μέμνηται ἀυτου καὶ λυσίας ἐν σωκράτους ἀπολογίαι.

ib. p. 18. C. ἀντὶ τοῦ εἰς ἐρήμην δίκην κατηγοροῦντες· λέγεται καὶ ἐρήμην ἀλῶναι ἀντὶ τοῦ εἰς ἐρήμην δίκην ἐμπεσεῖν· ἐρήμη δὲ δίκη λέγεται ἡ μὴ ἔχουσα τὸν ἀπολογούμενον.

ibid. εἰς ἀριστοφάνην αἰνίττεται τὸν κωμικόν.

f. 9. a. p. 19. C. Αριστοφάνης ὁ κωμωιδιοποιὸς φαλακρὸς ἦν ὡς αὐτὸς φησὶν εἰρήνηι· ἐκωμωιδεῖτο δ' ἐπὶ τῶι σκώπτειν μὲν εὐριπίδην μιμεῖσθαι δ' αὐτόν· κρατῖνος· τίς δὲ σὺ κομψὸς [a]τις ἔροιτο θεατὴς ὑπολεπτόλογος γνωμιδιώτης εὐριπιδαριστοφανίζων· καὶ αὐτὸς δ' ἐξομολογεῖται σκηναῖς καταλαμβανούσαις· χρῶμαι γὰρ αὐτοῦ, φησὶ, τοῦ στόματος τῶι στρογγύλωι· τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ κεῖνος ποιῶ. ἀριστώνυμος δ' ἐν ἡλίωι ῥηγοῦντι καὶ σαννυρίων ἐν γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι· διὸ τὸν βιόν κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν ὡς καὶ φιλόχωρος ἐν τῆι πρώτηι περὶ ἡμερῶν ἱστορεῖ· ταύτηι δὲ καὶ ἡρακλῆ φασὶ γεννηθῆναι· τρεῖς δ' ἔσχεν υἱοὺς· φίλιππον τὸν τοῖς εὐβούλου δράμασιν ἀγωνισάμενον καὶ ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασιν διηγωνισμενον· καὶ τριτὸν ὃν ἀπολλόδωρος μὲν νικόστρατον καλεῖ, οἱ δὲ περὶ δικαίαρχον φιλεταῖρον· κατεκληρωσε δὲ καὶ τὴν αἴγειναν ὡς θεογένης ἐν τω περὶ αἰγείνης. κωμωιδεῖται δὲ ὅτι καὶ τὸ τῆς εἰρήνης κολοσσικὸν ἐξῆιρεν ἄγαλμα· εὔπολις αὐτολύκωι, πλάτων νίκαις.

ibid. p. 19. B. ἀντωμοσία λέγεται ἡ τῶν ἐν δικαστηρίοις ἀμφισβητούντων πρὸς ἀλλήλους ἀντέγκλησις καὶ ἀντιγραφή. λέγεται δὲ τοῦτο διὰ τὸ ὀμνύναι τόν τε διώκοντα καὶ τὸν φεύγοντα· ἔνιοι δὲ ἀντωμοσίαν φασὶν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνεγγράφοις εἰς ὅρκον περιϊσταμένην δίκην. ἄλλοι ὅτ' ἂν ἐπὶ δημοσίωι ἀγῶνι σκηπτομένου τινὸς κάμνειν, ὁ ἀντίδικος ἀντομνύηται φάσκων προσποιεῖσθαι αὐτὸν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί.

f. 9. b. p. 20. E. Χαιρεφῶν οὗτος ὁ σωκρατικὸς ἰσχνὸς ἦν καὶ ὠχρὸς· τὸ δὲ ἦθος συκοφάντης καὶ κόλαξ πρὸς δὲ καὶ κλέπτης καὶ αὐχμηρὸς· τὴν δὲ περιουσίαν πένης· εὔπολις μὲν οὖν

[a] Corrigendum πᾶς ἄν τις ἔροιτο—et mox σκηνὰς—ῥιγοῦντι—φιλόχορος. Porſon.

ἐν πόλεσι διὰ τὴν χροιὰν [a] πυξινὸν αὐτὸν καλεῖ· ἀριστοφάνης δ' ἐν ὄρνισι νυκτερίδα· ἐν δὲ τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει. κρατῖνος πυτίνῃ εἰς αὐχμηρὸν καὶ πένητα· εὔπολις δ' ἐν κόλαξιν καλλίου κόλακα λέγει. ἀριστοφάνης δ' ἐν [b] δὲν δράμασι, κλέπτην· ἐν δ' ὥραις νυκτὸς αὐτὸν παῖδα καλεῖ.

ibid. p. 21. A. χρησμὸς περὶ σωκράτους δοθεὶς χαιρεφῶντι τῶι σφηττίωι·

σοφὸς σοφοκλῆς σοφώτερος εὐριπίδης· ἀνδρῶν δ' ἁπάντων σωκράτης σοφώτατος.

f. 10. a. p. 21. E. σημείωσαι διὰ σύνταξιν.

ibid. p. 21. E. κατὰ κοινοῦ τὸ ἐδόκει· ἵν' ᾖ· ἐδόκει οὖν ἰτέον εἶναι σκοποῦντι.

f. 11. p. 23. E. ἄνυτος] ἄνυτος μὲν καὶ μέλητος εἴρηνται τίνες· ὅτι ὁ μὲν πλούσιος ἐκ σκυτοδεψικῆς· μέλητος δὲ τραγῳδιοποιὸς φαῦλος· λύκων μέντοι πατὴρ ἦν αὐτολύκου ἴων γένος δήμων θορίκιος· πένης ὡς κρατῖνος πυτίνῃ· ἀριστοφάνης σφηξὶν. εὔπολις δ' ἐν φίλοις καὶ ἐπὶ τῇ γυναικὶ ῥοδίαι κωμῳδεῖ αὐτὸν [c]· ἐν δὲ τῷ πρώτωι αὐτολύκωι εἰς ξένον· μεταγένης δ' ὁμήρῳ εἰς προδότην· καὶ λύκων ἐνταῦθά που προδοὺς ναύπακτον ἀργύριον λαβὼν ἄγαλμ' ἀγορας ξενικὸν ἐμπορεύεται.

f. 13. a. p. 27. E. καλῶς γε σὺ ποιῶν σώκρατες ὄνοις καὶ ἵπποις τοὺς θεοὺς ἀθηναίων παραβάλλεις.

f. 13. b. p. 28. C. τιμωρήσεις] ἀντὶ τοῦ ἐκδικήσεις· ἢ ἀντὶ τοῦ εἰ τῷ πατρόκλῳ ἐκδίκησιν τοῦ φόνου παράσχῃς· τὸ τιμωρ δὲ σημειωτέον ὅτι δοτικῇ συντάσσεται ὅτε ἀντὶ τοῦ βοηθῶ λαμβάνεται.

f. 15. a. p. 31. D. ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον] τί τὸ σωκράτους δαιμόνιον ὅ τινες φάσιν ὅτι ἦχ τὸ ἔξωθεν καταλαμβάνεται αὐτῷ οὖς.

Crito.

f. 22. a. p. 46. E. σὺ γὰρ ὅσα γε τἀνθρώπεια] ἀντὶ τοῦ ὅσον κατ' ἄνθρωπον, ὅσον εἰς γνῶσιν ἧκεν ἀνθρώπων, ὅσον αἰσθάνεσθαι ἄνθρωπος δύναται.

f. 23. b. p. 50. A. εἰπέ μοι ὦ σώκρατες τί ἐν νῶι ἔχεις] σημείωσαι τὴν μετάβασιν τοῦ ϛ (q. ἀριθμοῦ).

f. 26. a. p. 54. D. δύο σημαίνει τὸ ἴσθι· τό τε ὑπάρχειν καὶ τὸ γνῶναι· εἰ μὲν οὖν κατὰ τὸ ὑπάρχειν τοῦτο βούλεται ἐνταῦθα δηλοῦν· ἴσο νῦν καὶ διαγίνου τοῖς παρ-

[a] Schol. Ariſtoph. Veſp. 1399. *Porſon.*

[b] Tres literæ male repetitæ. *Porſon.*

[c] Confer ex monitu Porſoni Schol. Ariſtoph. Lyſiſt. 270. (ubi MS. Barocc. 38. recte ἱέρει, ſed τὴν male omittit) Ex ejuſdem emendatione in fragmento Metagenis lege,

καὶ Λύκων ἐνταῦθά που
φέρουσι προδοὺς Ναύπακτον ἀργύριον λαβὼν
ἄγαλμ' ἀγορᾶς τι ξενικὸν ἐμπορεύεται.

οὖσιν εἰς πάντα ὅσα γέ μοι δοκεῖ, ἢ ταῦτα νῦν ἴσθι τὰ ἐμοὶ δοκοῦντα. κατὰ δὲ τὸ τοῦ γνῶναι σημαινόμενον οὕτως· γνῶθι κατὰ τὰ ἐμοὶ νῦν δοκοῦντα ὡς εἴπερ ταυτα ἐρεῖς μάτην ἐρῶν.

Phædo.

ibid. p. 57. A. οὐδεὶς πάνυ τι] ἀντὶ τοῦ οὐδαμῶς· ἐστὶ γὰρ τὸ ἑξῆς οὕτως· πάνυ οὐδεὶς ἐπιχωριάζει.

f. 27. b. p. 59. E. οἱ ἕνδεκα] Scholion in prioribus evanidum, ſed ex litteris et vocibus quæ adhuc integræ ſuperſunt, plerumque videtur conſentire cum Polluce viii. 102. Noſter autem habet ν. τε κατὰ τὸν φαληρεα δημήτριον. pro εἰσάξοντες, ἐτάζοντες. pro νομοφυλακίου, δεσμοφ. pro χαρωνεῖον, χαρώνιον.

f. 31. a. p. 67. A. ὅτι μὴ πᾶσα ἀνάγκη] ἀντὶ τοῦ εἰ μὴ κατὰ τὰ ἀναγκαῖα· τὸ δὲ ἑξῆς οὕτως μή. . κοινωνῶμεν εἰ μὴ κατὰ τοῦτο καθὸ πᾶσα ἀνάγκη . . . .

f. 34. a. p. 72. A. ἴδε τοίνυν] ἀττικοὶ ὀξύνουσι τὰ ἰδέ λαβέ εὑρέ ὡς τὰ ἐλθέ εἰπέ.

f. 35. b. p. 75. D. οἷς ἐπισφραγιζόμεθα τοῦτο ὅ ἐστι.] ἀντὶ τοῦ τὸ ὂν ὃ π τα πειληφεν.

f. 39. b. p. 83. A. ὅσον μὴ ἀ.] ἀντὶ τοῦ εἰ μὴ ὅσον κατὰ τὰ τῆς ζωῆς συνεκτικά· ταῦτα γὰρ καὶ ἀναγκαῖα.

f. 49. b. p. 102. D. ξυγγραφικῶς ἐρεῖν] ἐπειδὴ ᾔσθετο ἑαυτοῦ ὁ Σωκράτης τῷ παρίσωι χρησαμένου σχήματι δι' ὧν φησὶ παρέχων ὑπερέχον ταύτηι φησὶν συγγραφικῶς ἐρεῖν ὡς τῶν τοιούτων τῆς ἐπιμελείας ὄντων καὶ λογογραφικῆς ἰδέας κατὰ σχολὴν τοῖς τοιούτοις καλλύνεσθαι προμηθουμένης ἀλλ' οὐ διαλεκτικῆς ἑτοιμότη καὶ λέξιν καὶ διάνοιαν ἀποσχεδιαζούσης. τοιαῦτα δὲ σχήματα πολλὰ παρὰ Θουκυδίδηι καὶ τοῖς λοιποῖς μάλιστα δὲ τὸ ἐν τῇ κορινθίων δημηγορίᾳ οὕτως εἰρημένον καὶ προεπιβουλεύειν μᾶλλον αὐτοῖς ἢ ἀντεπιβουλεύειν· πρὸς ὃ οἶμαι καὶ τὸ παρὸν σωκράτει ἐξενήνεκται.

f. 50. a. p. 103. B. οὐκ ἄν ποτε φαμὲν ἐθελῆσαι] σημείωσαι ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ. Sed n. b. a manu antiqua ſupraſcr. φαῖμεν. Supra f. 36. b. ad ὅπως μὴ—διασκεδάννυται, in marg. ὁρ. ἀντ. ὑπο. ſed et ibi η ſupraſcriptum.

f. 51. a. p. 104. C. ἐναντίον γέ ἐστι δυάς] καθὸ ἀριθμοὶ αμφω οὐ, καθὸ δὲ ἐναντιότητα δεδεγμεναι.

f. 52. b. p. 107. E. πορεῦσαι] ἀντὶ διαπορθμεῦσαι διαπεράσαι.

f. 56. a. p. 114. C. ὥστε ἀρετης καὶ φρονήσεως ἐν τῶι βίωι μετασχεῖν] ὁ μηδένος ἄλλου χάριν τὴν ἀρετὴν διατεινόμενος χαρακτηρίζειν· τί πέπονθας; (q.) ὥσπερεὶ παλινωδίαν ᾄδεις καὶ τοῖς εἰσέπειτα ῥαιστώνης τὸ τῆς ἀρετῆς ἀπεμπολεῖς ἄπρατον, ἀλλ' ἢ τῶν πρὶν λήθεσαι, ἢ οὐκ ἐνόησας.

f. 57. b. p. 117. C. ἀστακτεὶ] ἀντὶ τοῦ οὐ κατὰ σταγόνα· ἀλλ' ἀθρόα καὶ ποταμηδόν.

Cratylus.

f. 61. a. p. 391. C. ἀλήθειαν τὴν πρωταγόρου] τοῦτο διαπαίζει τῶν πρωταγόρου ἐν οἷς φησὶν ἐκεῖνος τὸ ἑκάστωι δοκοῦν ἀληθές ἐστι.

f. 64. b. p. 398. C. πάντες δήπου γεγόνασιν ἐρασθέντες] σημείωσαι διὰ σύνταξιν.

f. 67. p. 403. E. τὸν πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα.] σημ. διὰ σύνταξιν.

f. 70. b. p. 413. A. ὑπὲρ τὰ ἐσκαμμένα ἅλλεσθαι.] παροιμία τοῦτο ἐπὶ τῶν πέρα τοῦ δέοντός τι ποιούντων. οἷον, ὑπὲρ τὰ ἐσκαμμένα ἐπηδησεν· εἰσῆκται δὲ ἐντεῦθεν. φαῦλλός τις κουφοτατος πάντων ἅλματι μετέωρον φέρειν ἑαυτὸν πεντήκοντα πρὸς τοῖς πέντε πόδας παρὰ δόξαν ἐπὶ μῆκος ἥλατο· ὃν καὶ διὰ τοῦτο θαυμάσαντες οἱ πρὸς αὐτὸν ἁμιλλώμενοι στιχ͂ τὸ θαῦμα ἀοίδιμον τῶι μακρῶι καταλελοίπασι χρόνωι· πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε φαῦλλος ποιησάμενοι· οὗτοι γὰρ ὀρύγματα τέμνοντες τάφρων ἐπὶ πεντήκοντα μονον ποδας διεστηκότα τὸ τῆς ἀγωνίας ἀκρότατον ἐπεδείκνυντο· αὐτὸς δ' ὑπερπαίσας τοῦτο πέντε ποσὶν . . reliqua, ſi paucula tantum elementa excipias, ſunt omnino deperdita.

Theætetus.

f. 83. a. p. 142. C. init. ἐθαύμασα σωκράτους] σημ. διὰ τὴν σύνταξιν.

f. 84. b. p. 146. A. Priora hujus ſcholii evanuere, ita ut quæ ibi olim ſcripta fuerint pro comperto affirmare nequeam: neque hoc ſane multum refert, quum ſequentia, totum rei complectentia, ſatis integra adhuc ſuperſint. οἱ παῖδες οἱ σφαιρίζοντες] ἐν τῆι διὰ σφαιρας ἡ δὲ ἀπόρραξις . . . . . ἡ δὲ φενίνδα· . εἰς οὐρανὸν τῆς σφαίρας ἀναβολὴ ἣν ὁ ποιητὴς ἐμφαίνειν δοκεῖ ἐν οἷς φησι οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο πορφυρέην τήν σφιν πόλυβος ποίησε δαΐφρων· τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα ἰδνωθεὶς ὀπίσω ὁ δ' ἀποχθονος ὑψόσ' ἀερθεὶς ῥηϊδίως μεθέλεσκε πάρος οὖδας ἱκέσθαι. ἀπόρραξις δέ ἐστι ὅτ' ἂν τὴν σφαῖραν μὴ πρὸς τοῖχον ἀλλὰ πρὸς τὸ ἔδαφος σκληρως ῥάττωσιν ὥστε ἀποκρουομένην ἅλλεσθαι πάλιν· τὴν δὲ ἐπίσκυρον καὶ ἐφηβικὴν καὶ ἐπίκοινον ἔλεγον· ἐχρῶντο δὲ αὐτῆι κατα πλήθη· ὠνομάσθησαν δὲ οὕτως ἐπειδη οἱ παίζοντες ἐπὶ λατύπης ἑστῶτες ἣν σκῦρον προσαγορεύουσιν βολῆι σφαίρας ἀλλήλους ἐκδιώκουσιν· φαινίνδα δέ ἐστιν ὅτ' ἂν ἑτέρω τὴν σφαῖραν προδεικνύντες ἑτέρῳ αὐτὴν ἐπιπέμπωσι· τῶν οὖν παιζόντων ταῦτα τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν· καὶ ὅτι ἂν προσέτασσον τοῖς ἄλλοις ὑπήκουον· τοὺς δ' ἡττωμένους ὄνους. κρατῖνος δὲ χείροσι χαριέντως ὁμου ἐγκαταμίξας καὶ τὴν ὄνος λύραν παροιμίαν ἔπλεξε τὸν λόγον οὕτως· ὡς ὄνος ἀπωτέρωι κάθηνται τῆς λύρας· τοὺς γὰρ ἡττωμένους ὡς ἔφαμεν ὄνους καθῆσθαι ἔλεγον· βασιλεῖς δὲ τοὺς νικῶντας.

86. b. p. 151. B. ἐγκύμονες εἶναι] σημ. διὰ τὴν συν.

87. a. p. 152. B. ῥιγοῦντι ψυχρὸν, τῶι δὲ μὴ, οὔ· ἔοικεν] διὰ τοῦ ἔοικεν φαίνεται ὁ Θεαίτητος ἀγαπῶν τὸν Πρωταγόραν καὶ τὸ τούτου δόγμα· καὶ ἐμμένων τῆι ἐξαρχῆς αὐτοῦ κρίσει.

ibid. C. ἆρ' οὖν πρὸς χαρίτων] πρώτη κατασκευὴ τοῦ πρωταγορείου δόγματος.

ibid. ad ἐπιστήμη οὖσα, ὅτι γὰρ αἰσθάνεταί τις καὶ ἐπίσταται.

87. b. p. 153. b. κινήσεων ὄντων.] ἡ σύνταξις πραγματικὴ οὐδετέρως γὰρ εἶπεν ὄντων πρὸς τὰ πράγματα ἀφορῶν.

88. a. 154. A. ἢ σὺ διϊσχυρίσαιο] ταῦτα πάντα ἡ δευτέρα κατασκευή ἐστι τῶν πρωταγορείων δογμάτων, ἕως τοῦ περὶ τῆς ἴριδος λόγου.

89. a. p. 155. E. ἄθρει δὴ περισκοπῶν] τριτὴ κατασκευὴ ὑπὲρ τῶν πρωταγορείων δογμάτων.

89. b. p 157. B. χρῆσθαι αὐτῷ.] αὐτῷ τῷ εἶναι ὡς ὁ τῶν Πρωταγορείων λόγος.

ibid. πολλῶν] ἀντὶ τοῦ συνθετῶν.

90. b. p. 159. A. πολλὰ μὲν εἴη] κατὰ τὸν πυθαγόραν.

91. b. p. 161. C. ἤρξατο] σημ. ὁριστικὸν ῥῆμα ἀνθ' ὑποτακτικοῦ.

91. b. p. 162. A. διωλύγιος] ἀντὶ τοῦ περιβόντος· σημαίνει δ' ἔσθ' ὅτε καὶ τὸ σκοτεινὸν καὶ νυκτέρινον.

92. a. p. 163. A. ἐπιστήμη τε καὶ αἴσθησις.] πρόκειται νῦν τῶι σωκράτει ἐλέγξαι τὴν ἐξ ἀρχῆς θέσιν τοῦ θεαιτήτου τιθεμένου τὴν ἐπιστήμην αἴσθησιν.

92. b. p. 163. C. εἴ τις ἔροιτο] καὶ τοῦτο πειραστικόν ἐστι διλημμά του ἑξῆς.

94. a. 166. C. ὑηνεῖς.] οἷον ὡς εἴ τις εἴποι χοιρίζεις.

96. b. 172. A. τῇ ἀληθείᾳ] ὡς θέσει.

96. b. ἐντεῦθεν μέχρι τῶν ἑξῆς σελ:δίων ιδ ἀποστηθίζειν χρή.

97. a. p. 172. E. ἀντωμοσίαν] . . . . . δικου ἄντι . . . . . σθαι γὰρ τὸ ἐγκαλεῖν καὶ ἀντιγραφεσθαι ἔλεγον Ἀθήνησι διὰ τὸ ἀντομνύναι τόντε διώκοντα καὶ τὸν φεύγοντα.

ibid. p. 173. D. οὐδὲ γὰρ ὄναρ πράττειν προσίσταται] ἀττικὸν τὸ σχῆμα· γίνεται δὲ τῆς ἐπιφορικῆς φράσεως προταττομένης ὀρθῆς πτώσεως ἀντὶ γενικῆς ἢ δοτικῆς ἢ αἰτιατικῆς· γενικῆς μὲν οἷον, ἀλκιβιάδης ἐξελθων τῶν πυλῶν λακεδαιμόνιοι ἠτύχησαν· ἔδει γὰρ εἰπεῖν ἀλκιβιάδους ἐξελθοντος· δοτικῆς δὲ οἷον ἐξερχόμενος ἔδωκέν μοι· ἀντὶ γὰρ τοῦ ἐξερχομένωι ἐξερχόμενος εἶπεν. ἀντὶ δὲ αἰτιατικῆς ὡς ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν σπουδὰς δὲ ἑταιριῶν καὶ κώμους οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς ἀντὶ τοῦ παρίσταται.


97. b. p. 173. ult. φύσιν ἐρευνωμένη.] γενικῶς τὸ φθαρτόν.

97. b. p. 174. D. βδάλλοντα] ἀντὶ τοῦ ἀμέλγοντα ἢ θηλάζοντα.
98. a. p. 175. E. τορῶς] τομῶς ἐντρεχῶς εὐπετῶς.
ibid. ἀναβάλλεσθαι.] ex finiftra folii parte, ἀντὶ τοῦ προοιμιάζεσθαι. et ex dextra, τῶν γὰρ ἀπαιδεύτων καὶ τὸ ἔνδυμα καὶ τὸ σχῆμα θορυβῶδες ἄλλοι δὲ τὸ ἀναβάλλεσθαι ἐπὶ τῶν κιθαρῶν ἀκουουσιν τῆς ᾠδῆς οιον τὸ ἄρχεσθαι κιθαρίζειν· καὶ οἶμαι οὐ κακῶς τότε γὰρ πρόκρουμα τῆς κιθαρας ἀναβολὴ καλεῖται ἀριστοφάνης εἰρήνηι συνέλεγ' τ' ἀναβολας ποτωμέναι·· καὶ τὰ τοῦ λόγου ἑξῆς πρὸς ταυτην τείνει τὴν ἔννοιαν.
99. a. p. 177. B. δοῦναι.] διαλεκτικ῀.
——— τελευτῶντες] ἐλεγχόμενοι.
——— ῥητορικὴ] ἡ δημώδης.
——— διαφέρειν] οἱ δεινοὶ ἐκεῖνοι.
——— τὴν φερομένην] τὴν ἐν γενέσει.
——— ἑκάστῃ] ἐπιρρηματικῶς ἀκουστέον ἀντὶ τοῦ ἑκασταχοῦ.
100. a. 179. D. ἀκούοντα] ἀπὸ τῆς τῶν χυτρῶν τοῦτο λαμβάνει δοκιμασίας, ὡς καὶ ἔμπροσθεν εἴρηκεν διακωδωνοῦντες γὰρ τὰ κεράμια τὰ ἀκέραια τῶν μὴ τοιούτων διακρίνομεν.
ibid. ὁμηρίδας φησὶ τοὺς ἡρακλειτείους διὰ τὸ της ἀεικινησίας δόγμα· ἐπεὶ καὶ ὅμηρος ὠκεανον ἀπεφήνατο θεῶν γένεσιν καὶ μητερα τηθύν.
102. a. p. 183. E. ἀντί νυ πολλῶν ἀνὴρ ὅν τε ζεὺς κῆρι φιλησηι :—
ibid. p. 184. B. τωι] ἐρωτηματικὸν ἀντὶ τοῦ τίνι.
ibid. D. δουρείοις ἵπποις] οὐχ ὅτι οἱ δούρειοι ἵπποι πολυαίσθητοι, οἷς οὐδεμία αἴσθησις· ἀλλ' ἔλαβεν τουτο ἀπὸ τοῦ δουρείου ἵππου, ὧι τροίαν εἷλον οἱ ἕλληνες τοῖς κοίλοις αὐτοῦ κατακρυψάντων ἑαυτοὺς τῶν ἀρίστων· διὸ καὶ πάνυ εὐσήμως τὸ ἐγκάθηνται· οὐδὲ γὰρ τοῦ μηχανήματος ἀλλὰ τῶν ἐγκεκρυμμένων αἱ αἰσθήσεις.
102. b. p. 185. D. ἐν σοφιστῆι τὸ ὂν μετὰ τοῦ μὴ ὄντος συζυγὲς ἐρεῖ.
103. a. p. 186. A. ποτέρων οὖν] a manu recentiore ἤτοι ὧν ἡ ψυχὴ δι' ἑαυτῆς ἐπισκοπεῖ, ἢ διὰ τῶν τοῦ σώματος δυνάμεων.
103. b. p. 187. E. πρῶτον ἐπιχείρημα κατασκευάζων ὅτι οὐκ ἔστι ψευδὴς δόξα.
104. a. p. 188. A. μανθάνειν γὰρ καὶ ἐπιλανθάνεσθαι] τὸ πρῶτον λῆμμα ἀντιφατικῶς.
ibid. πρὸς λόγον ἐστὶν] ἀντὶ τοῦ ἀφίημι αὐτά· τότε μανθάνειν καὶ τὴν λήθην· ὁδοὶ γάρ εἰσιν μεταξὺ τοῦ τε εἰδέναι καὶ μὴ εἰδέναι.
ibid. καὶ μὴν εἰδότα] τὸ δεύτερον λῆμμα.
ibid. p. 188. D. μὴ ἁπλοῦν ᾖι.] δεύτερον ἐπιχείρημα κατασκευάζων ὅτι οὐκ ἔστι ψευδὴς δόξα.

104. b. p. 189. B. ἀλλοδοξίαν τινα] τρίτον ἐπιχείρημα κατὰ ψευδοδοξίας.
105. a. p. 190. E. αἰσχυνοίμην] a finiſtra parte, ὡς οἱ πρωταγόρειοι.
ibid. a dextra ἐμπεσούμεθα φησιν εἰς τὸ πρωταγόρειον δόγμα.
ibid. ἐὰν φησὶν ἐπιλυσώμεθα τὰ τρία ἐπιχειρήματα τὰ τὴν ψευδοδοξίαν ἀναιροῦντα ἐλεύθεροι τῶν ἐνισταμένων κατὰ τῆς ψευδοδοξίας γενόμεθα.
106. a. 192. D. σημείωσαι διὰ τὴν σύνταξιν.
107. p. 194. E. ὡραῖον δι' ὅλου τὸ χωρίον.
109. a. p. 199. D. τινὸς] τοῦ ἐπιστητου.
111. p. 204. A. ὅτι οὗ ἂν ᾖ μέρη τὸ ὅλον] ἀντὶ τοῦ τὸ ὅλον οὐδὲν παρὰ τὰ μέρη.

Sophiſt.

113. a. p. 216. A. ἐλέας] αὕτη ἡ ἐλαία οὐχ ὡς τινες ὑπέλαβον τῆς ἰωνίας ἐστιν ἀλλὰ τῆς ἰταλίας εἴτι δεῖ στράβωνι πείθεσθαι τῶι γεωγράφωι· κεῖται δὲ ἐν τῶι ἐχομένωι κολπωι τοῦ ποσειδωνιάτου κολπου. ἧς αἱ οινοτριδες προβέβληνται νῆσοι.
114. b. p. 219. E. ἡ καθόλου τέχνη.



ἑρκοθηριακὸν πληκτικὸν πυρευτικὸν ἀγκιστρευτικὸν τριοδοντιακὸν ἀσπαλιευτικόν.

Politicus.

138. a. p. 260. C. αὐτοπωλῶν] ὁ αὐτοπώλης πᾶς ὁ το ἴδιον ἐργόχειρον ἢ οἶνον ἢ σῖτον ἐξ οἰκείου γεωργίου πιπράσκων ὁ δὲ παρα τούτων ἀγοράζων ἤτοι ὠνούμενος καὶ πιπράσκων ἄλλοις καπηλος λέγεται.

ibid. b. p. 261. D. ὁ ἄλλο βοηλάτης, καὶ ἄλλο βουφορβός· καὶ ἄλλο ἱπποκόμος καὶ ἄλλο ἱπποτρόφος.

Parmenides.

155. a. p. 128. C. λάκαιναι σκύλακες] ἃς ἡ συνήθεια λακωνικάς φησι.

156. a. p. 130. D. ἔθραξε] ἐτάραξεν ἠνώχλησεν εἰς θυμὸν ἐκίνησεν τὰς φρένας διέσεισεν.

Sympofium.

199. a. p. 172. A. Ἀγάθωνος] In principio hujus fchol. linea evanuit. τραγωιδι . . . . .

ἐπι μαλακίαι . . .
ταδηι ἦν δ' οὗτος . .
παῖς ἀθηναῖος . .
πανίου τοῦ τραγικ . . (καὶ πρὸς ἀρ q?)
χέλαον τὸν βασιλεα (ὧ)
χετο ὡς μαρ . .

νεώτερος· ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως γοργίου τοῦ ῥήτορος. cf. Kuhn. ad Ælian. V. H. II. 21.

199. a. p. 173. A. ἦ] ἀττικὸν τοῦτο ἀπὸ τοῦ ἔα συνῃρημένον σημαίνει δὲ τὸ ἔα τὸ ὑπῆρχον· ἔστι γὰρ ἀπὸ τοῦ ἦν κατὰ διαλυσιν ἰωνικήν· ὅμηρος ἦ τότε κοῦρος ἔα νῦν αὖτε με γῆρας ἱκάνει.

206. b. p. 189. A. τοιούτων ψόφων καὶ γαργαλισμῶν οἷον] σημ. διὰ σύνταξιν.

213. a. p. 202. A. μεταξὺ σοφίας καὶ ἀμαθίας] ὃ μεταξὺ ἐπιστήμης καὶ ἀμαθείας ἔστιν ἡ ὀρθὴ δόξα κἂν λόγον μὴ ἔχῃ.

217. b. p. 211. B. τὸ παιδεραστεῖν ἐπὶ τοῦ παιδείας ἐρᾶν ἀεὶ κεῖται παρὰ πλάτωνι.

221. a. p. 218. A. τὴν καρδίαν ἢ ψυχὴν] ὃ τὴν καρδίαν ψυχὴν λέγει.

ibid. B. φιλοσόφου μανίας] ὃ καὶ ἐπὶ τοῦ ἔρωτος τοῦ πρὸς φιλοσοφίαν μανίαν ὀνομάζει.

ibid. βέβηλος—πύλας] ἐντεῦθεν παρῴδησεν καλλίμαχος ἐν ὕμνῳ δημητρος καλάθου τὸ θύρας δ' ἐπίθεσθε βέβηλοι.

Phædrus.

224. a. p. 227. B. τῶν λόγων—εἱστία] ἀττικὴ ἡ σύνταξις . . . . μέρους λέγειν· ἀττικ. . . . . γοῦν καὶ ἔφαγον τοῦ ἄρτου φασιν οὐ τὸν ἄρτον καὶ ἔπιον τοῦ οἴνου ἀλλ' οὐ τὸν οἶνον· οὕτως οὖν καὶ ἐνταῦθα εἱστία ὑμᾶς τῶν λόγων τὸ κοινὸν εἱστία ὑμᾶς τοῖς λόγοις· ὅσοι δὲ λείπειν φασι τὴν διὰ πρόθεσιν ἵν' ᾖι εἱστία ὑμᾶς διὰ τῶν λόγων οὐ κατὰ σκοπου βάλλουσι.

224. b. p. 228. C. τάχα πάντως] . . τάχεως οὐ . . καὶ εἰκαστικῶς διὰ τοῦ τάχα καὶ βεβαιωτικῶς διὰ τοῦ πάντως.

225. b. p. 230. ult. ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι κ. τ. λ.] πρῶτον μὲν λέγει ὡς μεταμέλει τοῖς ἐρασθεῖσιν ὧν εὖ ἐποίησαν τὸν ἐρώμενον ἐπειδὰν παύσωνται τῆς ἐπιθυμίας. Δεύτερον ὅτι τοὺς πόνους ὑπολογίζονται οὓς ἔσχον ἐν τῷ ἐρᾶν. καὶ ὅτι (q?) παρημέλησαν τῶν οἰκείων, καὶ διὰ τοῦτο ἡγοῦνται τοῖς ἐρωμένοις ἀποδεδωκέναι τὴν ἀξίαν. Τρίτον, ὅτι λεγοντες οὓς ἐρῶσι φιλεῖν ὑπὲρ πάντας δηλονοτι τοὺς προτοῦ γενομένους ἐρωμένους κακῶς διαθήσουσιν αὐτοὺς διὰ τοὺς ὕστερον. Τέταρτον, ὅτι ὁμολογοῦσιν καὶ αὐτοὶ νοσεῖν καὶ μὴ σωφρονεῖν. Πέμπτον, ὅτι εἰ τοὺς ἐπιτηδειοτέρους πρὸς φιλίαν δεῖ αἱρεῖσθαι καὶ τῶν μὴ ἐρώντων εὐμαρεστέρους ὡς ἔκλογοι πλειόνων ὄντων, χαλεπωτέρους δὲ ἐκ τῶν ἐρώντων· ὀλιγώτεροι γάρ. Ἕκτον, τὴν αἰσχύνην δεδιότας, χρὴ φυλάττεσθαι τοὺς ἐρωμένους, ἀλαζονεύονται γὰρ πρὸς τοὺς ἄλλους δεικνῦντες ὅτι οὐ μάτην ἐπόνησαν. Ἕβδομον, ὅτι καὶ προστάττουσι τὰ τοιαῦτα ὥστε εἰς ὑποψίαν ἔξωθεν ἀφίκεσθαι ὅτι γεγένηται αὐτοῖς ἢ μέλλει πληρωθήσεσθαι ἡ ἐπιθυμία. Ὄγδοον, ὅτι τῶν πρὸς τοὺς ἄλλους ἀποτρέπουσι συνηθῶν δεδοικότες μὴ παρευδοκιμηθῶσιν. Ἔνατον, ὅτι οἱ μὴ τὸν τρόπον γνόντες ἀλλὰ τοῦ σώματος ἐπιθυμήσαντες ἀντιποιοῦνται τῶν παιδικῶν· διὸ εὐχερεῖς εἰς μεταβολήν. Δέκατον, ὅτι καὶ ἐπαινοῦσι καὶ ψέγουσι παρὰ τὸ προσῆκον· τὸ μὲν κακῶς κρίνοντες διὰ τὴν νόσον, τὸ δὲ δεδιότες μὴ ἀπέχθωνται. εἶτα ἀνθυποφοράς τινας ποιεῖται, ὧν μια μέν ἐστιν ὅτι φιλία βέβαιος . . ἄνευ ἔρωτος συστῆναι· λύει δὲ αὐτὴν διὰ τοῦ καὶ πρὸς πατέρας καὶ ἀδελφους καὶ ἡλικιώτας γίνεσθαι βεβαίαν τὴν χωρὶς ἔρωτος· δευτέρα δὲ αὕτη ὅτι τοῖς δεομένοις μᾶλλον δεῖ παρέχειν ἢ τοῖς μὴ· ἐνίσταται δὲ ἐνταῦθα ὅτι οὕτως ἂν τοῖς αἰτοῦσιν τροφὰς καὶ τὰς ἑστιάσεις παρέχομεν, καὶ οὐ τοῖς ἀξίοις. τρίτον εἰ δεῖ κοινῶς πᾶσι τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· τοῦτο δέ φησι καὶ οἱ ἐρασταὶ οὐκ ἀξιώσουσιν. ὥστε πᾶσι τοῖς ἐρῶσι παρέχειν ἐπὶ πᾶσι κεφαλαιον ἔθηκεν ὅτι τοὺς ἐρῶντας καὶ οἱ οἰκεῖοι νουθετοῦσιν ὡς κακοῦ ὄντος ἐπιτηδεύματος, τοὺς δὲ μὴ ἐρῶντας οὐδεὶς αἰτιᾶται. ταῦτα μὲν τὰ λεχθέντα αἰτιᾶται ὁ πλάτων.

231. p. 242. C. ἐδυσωπούμην· αν ὑπώπτευον.

Alcibiades I.

250. a. p. 107. E. εἰ οὖν βουλεύοιντο] λεληθότως ὁ σωκράτης διορθούμενος ἀλκιβιάδην παράδειγμα τὴν γυμναστικὴν φέρει ἔχουσαν διαφορὰν τότε ἀκροχειρίζεσθαι καὶ παλαίειν. οὕτως οὖν καὶ τῆς δικαιοπραγίας ὁ πόλεμος καὶ ἡ εἰρήνη εἰσι διαφοραί· εἰκότως δὲ γυμναστικὴν καὶ μουσικὴν προφέρει σωκράτης ἅπερ γνώριμα τῷ ἀλκιβιάδηι ὡς δι' αὐτῶν ἐκ παίδων ἀχθέντι· καὶ ὅμοια ὁ μὲν πόλεμος τῆι γυμναστικῆι ἡ δὲ εἰρήνη τῆι μουσικῆι.

250. b. p. 108. ὅρα τὴν ἀκρίβειαν τῶν ὀνομάτων γυμναστικῶς φησὶ καὶ μουσικῶς εὐλόγως ἀπὸ τῶν ἕξεων ὀνομάσας τὰς ἐνεργείας τὰ γὰρ ὀνόματα ἢ ἀπὸ τῶν ἕξεων τίθεται

τοῖς ἔχουσιν αὐτὰς ὡς ἀπὸ τῆς ἰατρικῆς ἕξεως ὁ ἰατρος· ἢ ἀπὸ τῆς ἐνεργείας ὡς ἰατρικῶς λέγομεν ἐνεργῆσαι τὸν καλῶς ἰασάμενον, ἢ ἀπὸ τοῦ ὀργάνου καθάπερ φλεϐοτόμον φαμὲν τινα· ἢ ἀπὸ τοῦ τέλους ὡς λέγομεν ὑγιεινὸν σιτιον [a] ἢ φλεϐότομον τὸ ὑγιειαν ποιοῦν. διὰ δὲ τούτων ὁ πλάτων τοὺς ἀπὸ τῆς ὁμοιότητος καὶ τῶν συστοιχων τόπους ἡμῖν λεληθότως μετὰ τῆς ὕλης παραδίδωσιν· οὓς ὁ ἀριστοτέλης γυμνους πραγμάτων ἐντευθεν ὠφελημενος ἁπλωσας παραδέδωκεν. ἔστι γὰρ ὁ ἀπὸ τῆς ὁμοιότητος τόπος οὗτος· ὡς ἔχει γυμναστικὴ πρὸς παλαιστρικὴν καὶ ἀκροχειρισμον οὕτως ἡ μουσικὴ πρὸς τὸ ᾆσαι καὶ κιθαρίσαι καὶ ῥυθμον· ὁ δὲ ἀπὸ τῶν συστοίχων οὗτος· ὡς ἀπὸ τῆς γυμναστικῆς τὸ γυμναστικῶς εἴρηται, οὕτως ἀπὸ τῆς μουσικῆς τὸ μουσικῶς· ἀκριϐῶς δὲ πάνυ πρῶτον τὸ ᾄδειν ὅ ἐστι τῆς γλώττης· εἶτα κιθαρίζειν ὅ ἐστι χειρῶν· εἶτα βαίνειν ὅ ἐστι ποδῶν· τρια δὲ μέρη μουσικῆς· ᾆσμα· μέλος· ῥυθμος· καὶ περὶ μὲν τὸ ᾆσμα τὸ μακρὸν καὶ βραχύ· περὶ δὲ τὸ μέλος τὸ ὀξὺ καὶ βαρύ· περὶ δὲ τὸν ῥυθμὸν τὸ βραδὺ καὶ ταχύ.

251. b. p. 110. E. οὐκ εἰς σπουδαίους γε διδασκάλους] αρχη τοῦ β συλλογισμου.

252. b. p. 112. E. ἴδου ὁ ἀμαθὴς καὶ φιλότιμος νεος πῶς ἀποκρίνεται.

ibid. ἀρχὴ τοῦ γ συλλογισμοῦ.

253. b. p. 115. A. ἀρχὴ τοῦ ε̄ συλλογισμου.

254. a. p. 116. B. τὸ εὖ μέσον εστι τοῦ ἀγαθοῦ καὶ κακοῦ.

259. a. Scholion evanidum cum Ruhnkeniano confpirat p. 80. οὐχ ὡς βουλόμενος—φιλίαν.

ibid. p. 126. D. ὡς πολλὰ ἐρωτήσας διεγείρων τὸν νεανίσκον προτρέπει μὴ ἀποκαμειν.

Hipparchus.

270. a. p. 226. C. συλλήϐδην] λείπει τὸ εἰπεῖν ὃ προσυπακουστέον.

271. p. 229. C. διὰ τὴν τῆς ἀδελφῆς ἀτιμίαν] Θουκυδίδης οὕτως φησιν.

Eraftæ.

276. b. p. 138. E. Σημ. ὅτι διαιτητης μὲν ὁ τοὺς φίλους ἰδιαῖ συμϐιϐάζων· δικάστης δὲ ὁ δημοσίαι κρίνειν ἅπαντας τοὺς ἀμφισϐητοῦντας λαχών.

Theages.

279. b. p. 126. B. παρὰ τίνος ἂν ἀφικόμενος] (ἀττικὴ) ἡ συνταξις· (ἀττικοὶ) γὰρ εἰς διδασκαλου φασιν οὐκ εἰς διδάσκαλον· οὕτως οὖν κἀνταῦθα γενικὴ ἀντ' αἰτιατικης.

Charmides.

282. a. p. 153. A. ποτίδαια πόλις θρᾴκης ἐν μακεδονίαι· κτίσμα κορινθίων.

[a] Dele voces ἢ φλεϐότομον e præcedentibus male repetitas.

283. b. p. 155. D. τότε δὴ ὦ γεννάδα ἴδοντι τὰ ἐντὸς τοῦ ἱματίου] ἀπόλοιο δῆτ' ὦ πλάτων οὕτως ἐπιβούλως ψυχαῖς ἀφελέσι τὸν λόγον προενεγκών.

285. b. p. 159. B. οὐ τῶν καλῶν μέντοι ἡ σωφροσύνη ἐστιν] ἐπηρεάζεις τῷ λόγῳ ὦ σώκρατες σοφιστικῶς τὸν καλὸν παρακρουόμενος χαρμίδην· εἰ γὰρ καὶ μὴ ἱκανῶς τὸν περὶ σωφροσύνης ἀποδέδωκεν λόγον, ἀλλ' οὖν οὐχι καὶ ὅλῳ καὶ παντὶ διαφέροντα. μέρος γ' οὖν καὶ τὸ ἡσυχῆι τι καὶ κοσμιως πράττειν σωφροσύνης· ἡσυχῆι δὲ ἀντὶ τοῦ ἀταραχῶς φημί· σὺ δὲ ὁμωνύμως τὸ ἡσυχῆι ἀντὶ τοῦ νωθρῶς ἐκδεχόμενος δηλος εἶ σοφισπεύων τὴν ἐπιχείρησιν.

289. p. 166. C. πολλοῦ δεῖ] ἀντὶ τοῦ οὐδαμῶς.

Laches.

295. b. p. 180. B. παρακαλεῖς] ἀντὶ τοῦ καλεῖς εὐχρήστως ἄγαν.

299. b. p. 187. B. οὐκ ἐν τῷ καρὶ] ἀντὶ τοῦ ἐν τῶι δούλωι· καὶ γὰρ οἱ παλαιοὶ των ἑλλήνων ἀπὸ καρῶν καὶ θραικῶν τοὺς δούλους ἐποιοῦντο· ἔνθεν τοὺς δούλους καρας ονομαζον καὶ θρακας· καὶ τὰς δούλας θρᾶιττας καὶ καείρας.

302. a. p. 192. C. ἀποκρινούμεθα ἡμῖν αὐτοῖς] ἀντὶ τοῦ ἀλλήλοις.

304. b. p. 197. A. ἄφοβον καὶ μῶρον] ἀττικοὶ οὕτως τὸν μωρον προπερισπωμενῶς.

305. a. p. 197. C. αἰξωνέα] ἀντὶ τοῦ ὑπερήφανον· οἱ γὰρ αἰξωνεῖς εἰς ὑπερηφανίαν ἐσκώπτοντο· ἔστι δὲ ἀπ' εὐθείας αἰξωνεύς· οὕτως δὲ ἀπὸ δήμου τινος ἐλέγοντο ἀθηναῖοι τίνες.

306. b. p. 201. B. Ὅμηρον] ἡσιόδου τὸ ῥητόν· πῶς δὲ ὁ σοφὸς ὁμήρου εἴρηκεν ἀγνοῶ.

Lysis.

308. b. p. 206. D. Ἑρμαῖα ἄγουσιν] ἓν τῶν ἑρμοῦ ἐπιτηδευμάτων καὶ ἡ παλαιστρική· ἐπεὶ οὖν παλαίστρα ἡ διατριβὴ εἰκότως αὐτόθι φοιτῶντας νέους ἑρμῆι ἀπαρχομένους τῆς τιμῆς καθότι ἔφορος τῆς παλαιστρικῆς, ἑρμαῖα τὴν τελετην ὀνομάζειν· λέγεται δὲ καὶ παίδων οὗτος ἀγὼν παρὰ συρακοσσίοις ὡς φησὶ διογενιανος.

ibid. p. 206. E. παιδία τις τὸ ἀρτιάζειν ἐν ἧι τοὺς ἀρτίους καὶ περισσοὺς ἀριθμοὺς καταστοχάζονται. σημαίνει δὲ καὶ τὸ πληροῦν καὶ συντελεῖν.

ibid. φορμίσκων] πλεκτῶν ἀγγίον ἤτοι σπυρίδων φορμιον δὲ πλεγμά τι ψιαθῶδες παρ' ἱππώνακτι.

ibid. ἀστραγαλίζειν τὸ ἀστραγάλοις παίζειν ὅπερ καὶ ἀστρίζειν ἔλεγον ἐπεὶ καὶ τοὺς ἀστραγάλους ἀστριας ἐκάλουν· καλλίμαχος· ζορκός τοι φίλε κοῦρε λιβυστίδος αὐτίκα δώσω νεοσμήκτους ἀστριας· ἔνιοι δὲ ἀστρίχους φασὶν. παίζεται δὲ ἀστραγάλοις τέσσαρσιν· καὶ εἷς ἕκαστος ἀστράγαλος πτώσεις ἔχει τέσσαρας ἐξ ἑβδομάδος κατὰ ἀντίθετον συγκειμένας ὥσπερ ὁ κύβος· ἔχει δὲ ἀντικείμενα, μονάδα, καὶ ἑξάδα· εἶτα τριάδα καὶ τετράδα· ἡ γὰρ δυὰς καὶ πεντὰς ἐπὶ τῶν κύβων μόνων παραλαμβάνεται, διὰ τὸ ἐκείνους ἐπιφανείας ἔχειν ἕξ· εἰσὶ δὲ αἱ σύμπασαι τῶν ἀστραγάλων πτώσεις ὁμου τεσσαρων

παραλαμβανομένων πέντε καὶ τριάκοντα· τούτων δὲ αἱ μὲν θεῶν εἰσὶν ἐπώνυμοι· αἱ δὲ ἡρώων· αἱ δὲ βασιλέων· αἱ δὲ ἐνδόξων ἀνδρῶν· αἱ δὲ ἑταιρίδων· αἱ δὲ ἀπὸ τινῶν συμβεβηκότων ἤτοι τιμῆς ἕνεκα ἢ χλεύης προσηγόρευνται· λέγεται δέ τις ἐν αὐταῖς στησίχορος· καὶ ἑτέρα εὐριπίδης· στησίχορος μὲν ὁ σημαίνων τὴν ὀκτάδα· ἐπεὶ ὁ ἐν ἱμεραῖ τοῦ μελοποιοῦ τάφος ἐξ ὀκτω γωνιων συνέκειτο· εὐριπίδης δὲ ὁ ῑ μ. εἷς γὰρ εὐριπιδης τῶν τεσσαράκοντα ἀθήνησι προστατων μετὰ τὴν τῶν λ̄ τυραννων κατασταθέντων καταλυσιν· τῶν δὲ βολῶν, ὁ μὲν τὰ ἓξ δυνάμενος κῷιος καὶ ἑξίτης ἐλέγετο· χῖος δὲ τὸ ἕν· καὶ κύων· λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου· οἷον χῖος παραστὰς κωιον οὐκ ἐάσω· ἀφ' οὗ καὶ στράττις λιμνοπέδαις· χῖος παραστὰς κωιον οὐκ εαῖ λέγειν· ἔπαιζον δὲ ἀστραγάλοις καὶ πολλοῖς καθάπερ καρύοις καὶ ὀλίγοις, τοῦ δὲ εἴδους τῶν πολλῶν τὸ μὲν ἀρτιασμὸν ἔλεγον τὸ δὲ τρόπα· τὸ δὲ ὤμιλλαν· ἀρτιασμὸς μὲν οὖν ἐστιν τὸ δραξάμενον ἀστραγάλων ἢ τινῶν ἄλλων ἐξετάζειν τὸν συμπαίζοντα πότερον ἀρτίους ἢ περισσοὺς κατέχει· ἀριστοφάνης πλουτω· στατῆρσι δὲ οἱ θεράποντες ἀρτιάζομεν· τρόπα δέ ἐστιν ἡ εἰς βόθυνον ἐκ διαστήματος βολή· κρατῖνος ἐν πυλαίαι· ἢ διονυσοις ἀκοιλοις παιζουσιν ἀνεμενοι τρόπα. ἡ δὲ ὤμιλλα ἐστιν ὅτ' ἂν περιγράψαντες κυκλον ἐπιρρίπτωσιν ἀστραγάλους ἤ τι ἄλλο, ὡς τῆι μὲν ἐντος βολῆι νικώντων τῆι δὲ ἐκτος ἡττωμένων· εὔπολις χρυσῷ γένει μεταφέρων ἐπὶ τὴν ἐκ κυκλωπων κατακλισιν τοὔνομα οὕτως φησιν· ἔπειτ' εισειμι ἐνθάδε μεινας εἰς ὤμιλλαν καν μή μετίηι.

310. a. p. 209. B. ψῆλαι τὸ ἄνευ πλήκτρου τῷ δακτύλωι τὰς χορδὰς ἐπαφᾶσθαι.

313. b. p. 216. A. ὥς γε ουτωσί ἀκοῦσαι] ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ἀκοήν· κατ' αὐτὴν τὴν πρώτην ἔντευξιν.

Euthydemus.

317. b. p. 271. B. σκληφρὸς·] οὕτως λέγεται καὶ παρὰ ἀριστοτέλει ὁ ἰσχνός καὶ λεπτὸς τὸ σῶμα.

Protagoras.

336. a. p. 309. A. πώγωνος ἤδη ὑποπιμπλάμενος] τῆς αὐτῆς φράσεως καὶ τὸ ἄρτι χνοάζων τὰς παρειάς· καὶ τὸ ἀρτίχνοος καὶ τὸ ἰούλοις ὑποσκιαζόμενος ἤδη· καὶ τὸ πρῶτος ὑπηνήτης.

ibid. D. ὦ] θαυμαστικόν.

ibid. p. 310. A. τῆς παρελθούσης] ἀττικὸν τοῦτο· τὸ γὰρ κοινὸν τὴν παρελθοῦσαν νύκτα ταύτην ὑπὸ βαθὺν ὄρθρον.

346. b. p. 331. D. ἀμηγεπῆ] ἀντὶ τοῦ ὁπωσοῦν.

Gorgias.

368. b. p. 447. A. παροιμία ἐπὶ τῶν ἐν τινι ὑστεριζόντων λεγομένη· πολέμου καὶ ης μεταλαγχάνεις.

μεταλαγχάνειν·] κατὰ τὰ τελευταῖα, ἀλλ' οὐκ ἐν ἀρχῇ.

ibid. ἀλλ' ἢ] ἀλλ' ἢ ἀλλ' ἄρα.

τὸ λεγόμενον] οὐ πανυ τὸ λεχθὲν ἀποδέχεται σωκράτης διὸ καὶ ἐπάγει ἀλλ' ἢ τὸ λεγόμενον ἀντὶ τοῦ ἀλλ' ὄντως τὸ λεγόμενον· λείπει δὲ τὸ πεπόνθαμεν. ἵν' ἦι τοιοῦτο· ἀλλ' ὄντως τὸ λεγόμενον πεπόνθαμεν ὅπερ οἱ κατόπιν ἑορτῆς παραγινόμενοι καὶ τῆς ἐν τῆι ἑορτῆι θυμηδίας ὑστεροῦντες.

369. a. Scholion magna ex parte evanidum fic legas; ἀττικὸν τὸ σχῆμα δηλοῖ δὲ τὸ ἐπιπολὺν χρόνον. Exftat in Ruhnken.

ibid. p. 448. B. ἄλλος ἡρόδικος σηλυμβριανὸς ἐν πολιτείαι.

ibid. C. τὸν αἰῶνα] ἀντὶ τοῦ τὸν βίον τὴν ζωήν.

p. 449. A. τινος επιστήμονα τέχνης] τὸ τοιῆς τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι.

ibid. ἀγαθόν γε] ἀριστοτέλης μὲν καὶ οἱ σοφισταὶ μίαν φασὶν εἶναι ῥητορικὴν ἐπ' ἀμφότερα δυναμένην ἀγωνίζεσθαι· πλάτων δέ φησιν δύο εἶναι· τὴν μὲν τέχνην τὴν δὲ κολακειαν· ἥτις καὶ εἴδωλον λέγεται πολιτικῆς μορίου· ὁ γοῦν γοργίας ἀξιῶν ἀγαθὸς εἶναι ῥήτωρ τῆς τεχνικῆς φησὶν εἶναι οὐ τῆς εἰδωλικῆς ῥητορικῆς ἔμπειρος. δεῖ δὲ γινώσκειν ὅτι περὶ μὲν τῆς ἐντέχνου ῥητορικῆς ἐν φαίδρωι διαλαμβάνει· περὶ δὲ τῆς δημώδους καὶ κολακικῆς ἐνταῦθα.

369. b. p. 449. E. περὶ λόγους] ὁ μὲν σωκράτης τὸ τέλος ἠρώτησεν τῆς ῥητορικῆς· ὁ δὲ γοργίας τὸ ὄργανον ἀπεκρίνατο· ὁ γὰρ λόγος ὄργανον τοῦ ῥήτορος ὥσπερ καὶ ἡ ἀποσιώπησις ὄργανον ἐστιν ἕνεκα τοῦ πείθειν παραλαμβανομένη ὑπὸ τῶν ῥητόρων· ἐνταῦθα δὲ καὶ διαλεκτικὸν θεώρημα παραλαμβάνομεν τὸ τὰς ἀπροσδιορίστους προτάσεις ἐκκλίνειν καὶ (ἀποστρέφεσθαι.

ibid. οὐκοῦν περὶ ὧνπερ λέγειν] ἰστέον ὅτι τῶι λόγῳ ὁ ῥήτωρ κέχρηται ὡς ὀργάνωι· ὁ δὲ γοργίας ἀγνοῶν περιπίπτει· τὸ δὲ ἑξῆς πρόκειται τὸ φρονεῖν· ἵνα τὴν ἔντεχνον ῥητορικὴν παραλάβηι καὶ οὐ τὴν εἰδωλικήν· ὑποκατιὼν δὲ ὁ σοφιστὴς συμφύρει πάντα καὶ διὰ τοῦτο ἀνατέτραπται ὑπὸ τοῦ ἐπιστήμονος.

ibid. a dextra parte p. 449. D. πάνυ] δύο ἐπιτάσεις ἀντὶ ὑπερθετικοῦ.

370. a. Schol. prius non lectum.

p. 450. C. εἰσιν ἡμῖν τέχναι] ἐπίστησον ἐνταῦθα ὅτι διαλεκτικὸν θεώρημα παραδίδοται· δεῖ γὰρ πρὸ τῶν ὁρικῶν λόγων τοὺς διαιρετικοὺς προηγεῖσθαι.

ibid. βραχέος] ὡς ἡ ἰατρική. | οὐδένος] ὡς ἡ γραφική· ἡ ὀρχιστική.

ibid. οὐδένος] ὡς ἡ διαλεκτικὴ | βραχέος] ὡς ἡ ῥητορικὴ διὰ τὸ ὑποκρίνεσθαι πολλάκις.

ibid. δεῖ γινώσκειν ὅτι τὰς τέχνας ἐνταῦθα διαιρεῖ καὶ ἐν σοφιστῆι καὶ ἐν πολιτικῶι. ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλ' ἐνταῦθα μὲν κατὰ τὸ δι' οὗ· καλῶς· τὰς μὲν διὰ λόγου τὰς δὲ ἄνευ λόγου, τὰς δὲ μεταξύ· ἐν δὲ σοφιστῆι κατὰ τὸν τρόπον τῆς ἐνεργείας· καλῶς· τὰς μὲν ποιητικὰς τὰς τὸ μὴ ὂν εἰς τὸ ὂν ἀγούσας τὰς δὲ κτητικὰς τὰς τὸ ὂν οἰ-

κειμένας· ἐν δὲ τῶι πολιτικῶι κατὰ τὸ εἶδος τῆς ἕξεως· καλῶς· τὰς μὲν γνωστικὰς τὰς δὲ πρακτικάς.

ibid. D. ἴσους] ὡς ἡ πεττευτικὴ καὶ κιθαρωιδία.

ibid. E. εὐλαβῶς ἐπιρραπίζει τὸν τοῦ σοφιστοῦ λόγον ὁ Σωκράτης.

ibid. ὑπολάβοι] fuprafcr. ἀντὶ τοῦ ἀποκριθησε.

ibid. βούλοιτο] οἱ γὰρ ὅροι ἀντιστρέφειν βούλονται εἴπερ ὑγιῶς ἔχουσι.

ibid. ἐριστικὸς ανος καὶ ελεγξαι μόνον σκόπον ἔχων ἀλλ' ου διορθώσασθαι τὸν διαλεγόμενον.

ibid. p. 451. A. ἴθι νῦν] τὸ μὲν ὀργανικὸν αἴτιον ὁ λόγος ἐστιν· ζητεῖ δὲ νῦν τὸ γένος περὶ τι τῶν ὄντων καταγίνεται (q.)

εἴποιμ' ἂν] ἐπίστησον ὅτι ἡ ἀριθμητικὴ κατὰ τὴν ἑαυτῆς φύσιν τὰ εἴδη τοῦ ἀριθμου σκοπεῖ· τὰ δὲ σχήματα τὰ ἐπ' αὐτοῖς καὶ τοὺς λόγους ὡς ἀρχὴ γεωμετρίας καὶ μουσικῆς· πάντα γὰρ ἐστι πρώτως ἐν τοῖς ἀριθμοις· οὐκ ἔστι δὲ ταυτὸν τοὺς ἀριθμους ἐφ' ἑαυτῶν ὁρᾶν καὶ ὡς ἀρχὰς ἄλλων δι' ἁπλότητα τῆς ὑποστάσεως.

ibid.

τῶν τεχνῶν

αἱ μὲν περὶ ἔργα μόνον καταγίνονται ὡς ζωγραφική.	αἱ δὲ περὶ λόγους μόνους ὡς ἡ διαλεκτική.	αἱ δὲ περί τε ἔργα καὶ λόγους καὶ αὗται τριχῶς.

ἢ μᾶλλον μὲν ἔργων χρῶνται ἢ λόγων ὡς ἰατρικὴ	ἢ μᾶλλον μὲν λόγων ὡς ἡ ἀριθμητική	ἢ ἐπίσης καὶ ἔργων καὶ λόγων ὡς ἡ πεττευτική.

370. b. p. 451. B. τοὺς γὰρ πολλαπλασιασμοὺς καὶ τοὺς μερισμοὺς ἡ λογιστικὴ θεωρεῖ τοὺς τῶν ἀριθμων ὧι καὶ δῆλον ὅτι τὸ πόσον τὸ ἐν αὐτοῖς καὶ τὴν ὕλην περιεργάζεται· πολλαπλασιάζεται γὰρ ἀριθμος ἐπὶ ἀριθμον, οὐ κατὰ τὸ εἶδος ἀλλὰ κατὰ τὰς ὑλικὰς μονάδας, καὶ μερίζεται κατὰ τὸ ποσόν, ἀλλ' οὐ κατὰ τὸν λόγον ὧι διαφέρουσιν ἀλλήλων οἱ ἀριθμοί· τὸ τοίνυν πῶς ἔχει πρὸς ἄλληλα κατὰ τὸ πλῆθος τουτο ἐνδείκνυται· πῶς πολλαπλασιάζονται καὶ μερί(ζονται) παραλλήλους κατὰ τὸ ἐν αυτοῖς ποσον.

ibid. D. δεῖ τὸν ὅρον ἀναμφισβητητὸν εἶναι καὶ σαφῆ, καὶ διδασκαλικὸν τῆς τοῦ οριστου οὐσίας· τὰ οὖν προκείμενα ἀμφισβητήσιμα μὲν, διὰ τὸν ἰατρόν τε καὶ παιδοτρίβην καὶ χρηματιστὴν, ἀσαφῆ δὲ διὰ τὸ μήπω γνωρίμου ὄντος τοῦ ὑποκειμένου τῆι ῥητορικη ἄριστον αὐτὸ καλεῖσθαι. ὁ δὲ προκείμενος λόγος ὁμοιός ἐστιν τῶ τοῦ πώλου ἐξαρχης εἰρημένω ὅτι καλλίστη εἴη ἡ ῥητορική.

ibid. E. σκόλιον. ἀθήνησιν ἐν τῶι πρυτανείωι παρὰ πότον σκόλια ᾔδετο εἴς τινας, ὥσπερ εἰς ἁρμόδιον, ἄδμητον, τελαμόνα· εἰρῆσθαι δὲ αὐτὸ σκολιον κατ' ἀντίφρασιν ὅτι ῥαίδια, καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα ᾔδετο ἃ ἐκαλεῖτο σκόλια, ἀντιπροτεινόντων ἀλληλοις τῶν συμποτῶν, καὶ ἠλεγχοντο οἱ μὴ αἴδοντες ὡς ἄμουσοι. σκόλιον μὲν οὖν ἤτοι σχόλιον τοῦτο. τὸ δὲ παρὸν σιμωνίδου ἐστιν τοιοῦτο ὄν· ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῶι· δεύτερον δὲ φυὰν καλὸν γενεσθαι· τὸ δὲ τριτὸν πλουτεῖν ἀδόλως· τέταρτον δὲ ἡβᾶν μετὰ τῶν φίλων. τινες δὲ οὐ σιμωνίδου ἀλλ' ἐπιχάρμου φασιν αὐτὸ εἶναι.

371. a. p. 452. D. μέγιστον ἀγαθὸν εἶναι] διὰ τούτων ὁ πλάτων ἐναργῶς ἡμῖν ἀπεκάλυψεν ὅτι περὶ τῆς ποιητικῆς αἰτίας ἀνθρωπίνων ἀγαθῶν καὶ τῆς εὐδαιμονίας ποιεῖται τὸν λόγον ἐν τῆι πρὸς γοργίαν συνουσίαι.

ibid. τὸ πείθειν ἔγωγ'] ἰστεον ὅτι τῆς εἰδωλικῆς ῥητορικῆς ἐστιν ὁ ἀποδοθεὶς ὅρος· δημοκοπικὴν γάρ τινα λέγει ταύτην πείθειν ἐπιχειρουσαν τὸν πλημμελῶς κινούμενον ὄχλον.

ibid. p. 453. A. πειθοῦς δημιουργός] ἡ ἐνέργεια καὶ τὸ τῆς ἐνεργείας τέλος· οὐ γὰρ ἐξ ἀνάγκης πείθει ὁ ῥήτωρ.

ibid. ἐμαυτὸν πείθω] ἐπίστησον ὅτι ὁ μὲν σπουδαῖος ἑαυτὸν πείθειν βουλόμενος, καὶ τὰ ἐν αὐτῶι πάθη τῆς ἀλόγου ὁρμῆς πείθει ὑπείκειν τῶι λόγωι· ὁ δὲ σοφιστὴς τὸν ἔξω ὄχλον κολακεύων πείθειν δοκεῖ, κακουργῶν καὶ ἑαυτῳ ἐπιβλαβῶς, καὶ τοῖς πειθομένοις.

ibid. B. ἵνα] κατὰ κοινου τὸ εὖ ἴσθι.

371. b. ibid. C. οὕτω καὶ τὸ γένος πολλῶν ὡς ἔχει οὖν ζῶον τὸ γραφόμενον πρὸς τὰ ἄτομα τὰ ὑπ' αὐτό· οὕτως ἔχει καὶ ἡ πειθὼ γένος οὖσα πρὸς τὰ ἑαυτῆς εἴδη· τό τε διδασκαλικὸν καὶ πιστευτικόν.

ibid. ποῦ] ἐν τῆι ποικίληι στοαῖ.

ibid. ὅτι καὶ ἄλλων τεχνῶν ἐστὶν ἡ πειθῶ.

ibid. p. 454. B. ταύτης τοίνυν τῆς πειθοῦς] πάλιν τὴν εἰδωλικὴν βούλεται λέγειν ὁ γοργίας ῥητορικήν. καὶ γὰρ ἀπὸ τοῦ χείρονος ἤρξατο τοῦ δικανικοῦ· κρείττον δὲ δηλον ὅτι τὸ συμβουλευτικόν· ἐκ ταγαθοῦ γὰρ τὴν ὑπόστασιν ἔχει· μέσον δὲ τὸ πανηγυρικὸν ἀπὸ τοῦ νοῦ προελθον, καὶ χειρον τὸ δικανικὸν ὡς ἀπὸ ψυχῆς προϊόν.

ταγαθόν	νοῦς	ψυχή
συμβουλευ	πανηγυ	δικανι
τικον συμ-	ρικόν κα-	κον δίκαιον
φερον κρειτ	λον μέ	χει
το	σο	ρο
ν.	ν.	ν.

372. a. Scholion non lectum, sed parvi, ut videtur, momenti.

ibid. p. 455. B. ὅτ' ἂν περὶ ἰατρῶν] ἡ αἵρεσις τριττή· ἢ προσώπων ἢ πραγμάτων, ἢ συναμφοτέρων· ἐν πᾶσι δὲ τούτοις οἱ τεχνικώτατοι ἂν ἄριστα συμβουλεύσαιντο ἔν γε πόλει εὐ νομουμένηι· καὶ ὁ μὲν πολιτικὸς προνοήσει λόγου χάριν ὅτι δεῖ ναυτικὸν στρατὸν ἔχειν τὴν πόλιν· ὁ δὲ ῥητορικὸς παρὰ τοῦ πολιτικοῦ μαθὼν πείσει τὸ πλῆθος περὶ τούτου· ὁ δὲ ναυπηγος εἰσηγήσεται τήν τε ὕλην καὶ τὰ ὄργανα· ἐν δὲ μὴ τοιαύτηι πόλει ὁ ῥητορικὸς πάντα ὑποδύσεται· καὶ γὰρ ὡς πολιτικὸς καὶ ὡς ἀρχιτέκτων συγκεχυμένως ὑποκριθήσεται πάντα εἶναι καὶ παντα γινωσκειν.

ὀρθὴ πολιτεία	διαστροφος πολιτεία
πολιτικὸς ἄλλος	δημαγωγος ὁ αὐτός
ῥήτωρ ἄλλος	ῥήτωρ ὁ αὐτός
ἐπιστήμων ἄλλος	ἐπιστήμων ὁ αὐτός
ἀσυγχύτως	συγκεχυμένως

372. b. ibid. D. πάλιν ὁ γοργίας τὴν εἰδωλικὴν ῥητορικὴν βούλεται παρεισάγειν.

ibid. ib. E. ἀρχαιότερος θεμιστοκλῆς περικλέους ἔτεσιν πλείοσι τῶν πεντήκοντα.

ibid. p. 456. A. δαιμονία γάρ τις.] τὸ ἁπλοῦν καὶ ἀμεταβλητὸν καὶ ὡρισμένον τῆς θείας φύσεως οἱ δαίμονες διὰ ποικιλίας καὶ κινήσεως καὶ τῆς ἐπὶ πᾶν προόδου μεμίμηνται, εἰδωλικῶς τὰς ἀληθείας ὑποκρινόμενοι· διὰ τοῦτο οὖν τὸ ποικίλον τῆς κολακείας τῆς εἰδωλικῆς ῥητορικῆς δαιμόνιον καλει ὁ σωκράτης.

ibid. B. παραδειγματικὴ ἀπόδειξις.

ibid. ἐνθυμηματικὴ ἀπόδειξις.

ibid. C. ὅτι τῆς αὐτῆς γνώμης ἐστιν ἀριστοτέλης καὶ γοργίας περὶ τῆς ῥητορικῆς. καὶ γὰρ ἐκεῖνος γνῶσιν μὲν τὴν αὐτὴν τοῦ τε σπουδαίου καὶ μοχθηρου ῥήτορος ἔλεγεν εἶναι προαίρεσιν δὲ διαφορον.

ibid. ἡ μὲν οὖν δύναμις] μέχρι τῶν ἐνταῦθα τὴν δύναμιν τῆς ῥητορικῆς ἀνυμνησεν ὁ γοργίας· ἐντεῦθεν δὲ τὴν βουλησιν τῶν χρωμενων τῆι δυνάμει ταύτηι· πᾶσα γὰρ δύναμις ἄλλου ἔστι δύνασις τοῦ χρωμενου. ὅπερ καὶ κρειττον εστι πάντως τῆς δυνάμεως.

373. a. Scholion non lectum.

ibid. p. 457. A. ἔμβραχυ] ἐπιρρηματικῶς ἀκουστέον ἀντὶ τοῦ συντόμως ἢ ἁπλῶς ἢ καθάπαξ· ἢ καθόλου.

ibid. συντομον ἢ ευχερῶς εἰπεῖν, ἢ ἁπλῶς.

ibid. C. ἐνταῦθα σωκράτης τίς τε ἡ ὀρθη συνουσία παραδίδωσι καὶ τίς ἡ διάστροφος καὶ τι τὸ τέλος ἀμφοτέρων.

373. b. in summo. Ὅτι ἡ ἄγνοια τριττὴ ἁπλὴ διπλὴ μεγίστη, καὶ τῆς μὲν ἁπλῆς δίδαξις ἔστιν η κάθαρσις ἀπαλλάττουσα τῆς κατεχούσης ἀγνοίας· τῆς δὲ διπλῆς ἥτις

καὶ οἴησις καλεῖται κάθαρσις ὁ ἔλεγχος . . . . ἀπαλλαγῆναι τοῦ κακοῦ· τῆς δὲ μεγίστης κάθαρσις ἡ κόλασις τὸ τῷ λόγωι μαχόμενον πάθος σωφρονίζουσα.

ἁπλῆ ἄγνοια — διδαξις
οἴησις — ἔλεγχος
μεγίστη ἄγνοια — κόλασις

ibid. ὅτι συνουσίας τρόπος διττος

πρὸς ἀλήθειαν / πρὸς τὸ πρᾶγμα / σωκρατικός
πρὸς νίκην / πρὸς τὸν προσδιαλεγόμενον / ῥητορικός.

ibid. p. 458. D. νὴ τοὺς θεοὺς] ὁ μὲν χαιρεφῶν ἐφίεται τῶν σωκρατικῶν λόγων ὡς ἀγαθῶν προηγουμένως· κατὰ δεύτερον δὲ λόγον ἡδέων, φιλόσοφος γάρ ἐστιν· ὁ δὲ καλλικλῆς ἐφίεται αὐτῶν προηγουμενως, ὡς ἡδέων, κατὰ δεύτερον δὲ λόγον ὡς ἀγαθῶν, φιλήδονος γάρ ἐστιν.

ibid. E. ἄκουε δὴ] εἰ ὑπετίθεσο φησὶν τὴν τῆι πολιτικῆι συνέριθον ῥητορικὴν διδάσκειν τοὺς δὲ μανθάνοντας κακῶς αὐτῆι χρωμένους εἰς τὴν εἰδωλικὴν καταφέρεσθαι καὶ δημοκοπικὴν, οὐκ ἂν εὐθύνας ἐδιδως τῷ λόγῳ· ἀλλ' οἱ μανθάνοντες εἰς κόλασιν ἦσαν ὑπεύθυνοι· τὸ γὰρ ἴσως προσκείμενον ἐνταῦθα ταύτην τὴν ἔννοιαν βούλεται λανθανόντων εἰσάγειν.

374. a. Scholion in ſummo paginæ non lectum.

ibid. p. 459. E. ἐνδέχεται γὰρ ἐν πλήθει διαλεγόμενον ῥήτορα πιθανον φαίνεσθαι· ἀλλ' ἐν ἀμαθεῖ καὶ πλημμελῶς κινουμένωι.

ibid. ὁ δὲ μὴ ἰατρός γε δήπου] τόπος ὁ κατὰ μετάληψιν· μεταλαμβάνει γὰρ ἀντὶ τοῦ οὐκ ἰατρος τὸ ἀνεπιστήμων.

ibid. ἡ ἀληθινὴ ῥαιστώνη ἐν τοῖς κατὰ νοῦν ζῶσιν ἔξω τῆς ὕλης ἐγγίνεται· ἡ δὲ φαινομένη ῥαιστώνη οἵαν καὶ ὁ σοφιστὴς νῦν ὑποβάλλει, εἰδωλική τις ἐστὶ καὶ καταλληλος τῶι τοῦ γοργίου βίωι· τὴν γὰρ κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι ῥηϊδίως.

ibid. ἀνάγκη τὸν ῥητορα

ἢ μὴ δ' ὅλως ἐπίστασθαι τὸ δίκαιον καὶ τὰ λοιπα α.
ἢ ἐπίστασθαι
ἤτοι προμαθόντα β.
ἢ ἐπιμαθόντα. γ.

374. b. Scholion in ſummo paginæ non lectum. ibid. p. 460. A. ἔχε δὴ, ἀντὶ τοῦ μεμνησο.

374. b. ibid. B. θαυμάζειν ἐὰν ὁ κατ' ἐπιστήμην ιατρικὰ εἰδως ἔσθ' ὅτε καὶ παρα τὸν σκόπον τῆς οἰκείας ἐπιστήμης ποιεῖ δειλητήρια διδούς· καὶ κατ' ἐκεῖνο ἀνίατρος ὢν· ὁ δὲ κατεπιστήμην τὰ δίκαια εἰδὼς ἐξαναγκης δίκαιος· εἰ γὰρ καὶ οἱ δύο ἐπιστήμονες ἀλλὰ τῷ τρόπῳ διαφέρουσιν· ὁ μὲν περὶ σῶμα ὁ δὲ περὶ ψυχὴν ἀσχολούμενος καὶ ἑαυτον γινώσκων καὶ ταυτὸν ἔχων γινῶσκον καὶ γνωστόν· ὁ δὲ ιατρος ἄλλο ἔχει τὸ γινῶσκον καὶ ἄλλο τὸ γινωσκόμενον.

ibid. p. 460. D. ὡσαύτως δὲ οὕτως] ἡ ἐκ παραλλήλου χρῆσις τῶν ἐπιρρημάτων ἀττική· ὡς τὸ ἐγὼ εἰμί· καὶ ὡς τὸ ὃς καὶ αὐτὸς τῶν σπουδαίων καὶ φίλων.

ibid. p. 461. A. ἀναλογία ἀριθμητικὴ καὶ γεωμετρική.

375. a. Scholion in ſummo paginæ non lectum.

ibid. p. 461. B. πεπλήρωται ἕως τούτων τὰ περὶ γοργίου.

ibid. ῥητορικὸν] ὁ πολιτικὸς φιλόσοφος κρειττόνως ἐπίσταται τὰ εἴδωλα τῆς ἐν αὐτῷ νοέρας ἕξεως.

ibid. τὰ δίκαια ὁ μὲν γοργίας καὶ ἀγαθα ἐδόξαζεν· ὁ δὲ πῶλος καλὰ μὲν οὐκ ἀγαθὰ δέ· ὁ δὲ καλλικλῆς οὔτε καλὰ οὔτε ἀγαθά· διὰ τοῦτο οὖν ὁ γοργίας συγχωρεῖ τὸν τὰ δίκαια εἰδότα δίκαιον, ὡς ἀγαθῶν ὄντων καὶ διὰ τοῦτο ἐφετων.

ibid. p. 462. B. σὺ αὐτὴν τίνα φῄς εἶναι] ἀσαφὴς ἡ τοῦ πώλου ἐρώτησις· πότερον τὸν ὁρισμὸν τῆς ῥητορικῆς ἐπιζητεῖ, ἢ τὸ γένος· κατὰ γὰρ τῶν δύο σημαινομένων φέρεται τὸ τίνα φῄς εἶναι· ὅθεν ὁ ἐπιστήμων ἐπανορθοῖ αὐτόν.

f. 375. b. In ſummo. ἡ ῥητορικὴ ἐστιν ἐμπειρία κολακευτικὴ περὶ . . . ν πολιτικῆς μορίου εἴδωλον τοῦ δικαστικοῦ.

ibid. . . . το τινα ενταυ . . . κατηγορήμα ἀλ . . . προσδιορισμός.

ibid. p. 462. C. ἐμπειρία μὲν γὰρ ποιεῖ ἡμῶν τὸν βίον πολιτικὸν κατὰ τέχνην· τοῦτο αἰνίττεται ὡς τοῦ πώλου τοιουτο συγγραμμα συγγράψαντος.

ibid. ἀπεργασίας] ἡ ῥητορικη φησὶν ἀπεργασίας ἔστιν ἐμπειρία τῆς ἀπεργαζομένης ἡδονην καὶ χάριν.

ibid. D. ἐμπειρίαν τινα αὐτὴν φῄς] ὁ ἀμαθὴς σοφιστὴς πλημμελεῖ καὶ περὶ τὰς ἐρωτήσεις καὶ περὶ τὰς ἀποκρίσεις καὶ τὰ ἑπόμενα ταύταις.

ibid. οὔπω φησιν τὰς συστατικὰς διαφορὰς τοῦ ὅρου ἀποδέδωκα σοι.

ibid. ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι οὐδὲν συμπεραίνεται εἰ μὴ δι' ἀντιστροφῆς.

ibid. E. ὡς ὅρους ἐξισάζοντας ἔλαβεν ὁ πῶλος τοῖς λόγοις.

ibid. p. 463. B. κεφάλαιον κολακείαν] πᾶσα κολακεία ἐκ τριῶν τινῶν ὀφείλει συνίστασθαι εἴ γε μέλλοι εἶναι κολακεία· στοχάσμου, καὶ ἀνδρίας, καὶ δεινότητος· ἵνα

καὶ τῆς τοῦ κολακευομένου προαιρέσεως στοχάζηται· καὶ ἀνδρείως ὑπομένηι· καὶ λανθάνειν βούλοιτο.

ibid. ὅρος κολακείας ἡ ἐστι ἐπιτήδευμα ἄτεχνον ψυχῆς στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει ὁμιλειν τοῖς ανοις ἡδονῆς ἀπεργαστικόν.

ibid. ἐκ τῶν προκειμένων λέξεων οἷον τοῦ καλῶ καὶ ἐγὼ καλῶ καὶ φημὶ εἶναι καὶ τῶν τοιούτων δεῖ νοεῖν ὅτι ταῦτα τῆς σωκράτους συνέσεως ἐστιν εὑρήματα· καὶ γὰρ ὁ ἀριστοτέλης τοιαῦτα φαίνεται ποιῶν· οἷον ὅρον δὲ καλῶ· καὶ σχῆμα καλῶ πρῶτον καὶ τὰ τοιαῦτα· ἔτι δὲ κακεῖνο ἐπίστησον ἐνταῦθα ὅτι ὁ σωκράτης οὐκ ἐστιν ἐφεκτικός.

f. 376. a. in ſummo. p. 463. E. πολιτικῆς μορίον] ἐν πολιτικῶι ὁ σωκράτης τὴν δικαστικὴν ὄργανον φησὶν εἶναι τῆς πολιτικῆς ἐνταῦθα δὲ μόριον· καὶ ῥητ . . . . ὅπου μὲν γὰρ συμπληρωτικός ἐστι τοῦ πολιτικου συνυπάρχων τῶι νομοθέτηι . . . . . .

f. 376. b. Scholion in ſummo paginæ non lectum.

ibid. p. 465. A. ταῦτα πρὸς τὰ ὑπὸ πώλου ἐν ἀρχηι τεθέντα. ἐμπειρία μὲν γὰρ ἡμῶν ποιεῖ τὸν βίον.

ibid. p. 465. C. τὰ γὰρ παραδείγματα ἀσυγχύτως δύναται σώζειν τὰς ἀπαλλήλων διακρίσεις διὰ τὴν ἄχραντον αὐτῶν ὕπαρξιν· τὰ δὲ εἴδωλα συγκέχυται ἀναλογοῦντα τῆι ὕληι.

ibid. διὰ τοῦτο ἄρα συγκέχυται ῥητορικῆς καὶ σοφιστικῆς ἡ διάκρισις. ὀψοποιικῆς δὲ καὶ κομμωτικῆς φανεραί εἰσιν αἱ διακρίσεις.

ibid. p. 465. D. ἀναξαγόρου ἂν πολὺ] ἀναξαγόρειος γὰρ ἦν τῆι προαιρέσει ὁ πῶλος· καθάπερ ὁ γοργίας ἐμπεδόκλειος.

f. 377. a. p. 466. A. ὡς κολακες ἐν ταῖς πόλεσι φαῦλοι] πρὸς τὰς εὐνομουμένας καὶ εὐδαίμονας πόλεις ὁ σωκράτης ἀφορῶν ταῦτα λέγει· οὐδὲ γὰρ οἱ ῥήτορές ἐκεῖ χῶραν ἔχουσι διὰ τὴν εὐνομιαν.

ibid. ἔοικεν ὁ πῶλος ἀγνοειν τὴν διαφορὰν βουλησεως καὶ δοκήσεως· ὅτι ἡ μὲν ἀναλογεῖ τῆι ἐπιστήμηι ἡ δὲ . . . . καὶ τῆι παρωνύμωι δόξηι· ἀβουλήτως οὖν οἱ ῥήτορες καὶ οἱ τύραννοι ζῶσι καὶ ανεπιστημονως· ἐκπεπτώκασι γὰρ τοῦ νοῦ τῆς ἐπιστημονικῆς ἕξεως· δοξη δε και δοκήσει πλημμελῶς ζῶσι.

ibid. C. ἀμφιγνοῶ μέντοι] τὸ ἀμφιγνοεῖν τοῦ ἀγνοεῖν ταύτηι διαφέρει ἧ τὸ μὲν ἀναίρεσιν ἔχει παντελῆ τοῦ γινώσκειν· τὸ δὲ ἀμφιγνοεῖν ἀμφιβολίαν καὶ ἄγνοιαν τοῦ ἀληθοῦς δωριεῖς δὲ αὐτὸ καὶ ἀμφίγνωμον φασιν.

ibid. τρία ταῦτά ἐστιν περὶ τὰ ὄντα ἃ ἄνωθεν ἀρχόμενα μέχρι τῶν ἡμετέρων ἀφικνοῦνται ψυχῶν· βούλησις· δύναμις· νοῦς. ταῦτα καὶ ἐν τῶι δημιουργωι θεωρεῖται·

καὶ ἐν τοῖς ἑξῆς πᾶσιν· καὶ πάντα τελειουνται διὰ τῶν τριων τούτων ἐπιστρέφοντα πρὸς ταγαθὸν· ἀλλ' ἐν μὲν τῆι προόδωι ἡ βούλησις προτέρα· δευτέρα δὲ ἡ δύναμις· τρίτη δὲ ἡ τοῦ νοῦ ἔλλειψις· ἐν δὲ τῆι ἐπιστροφῆι διὰ τοῦ νοῦ πρωτως τελειοῦται τὰ ὄντα, καὶ δεύτερον διὰ δυνάμεως, καὶ τριτὸν διὰ βούλης· ἀνάπαλιν γὰρ ε τῆι προόδωι ἡ ἐπιστροφή· διὸ καὶ ἐνταῦθα ὁ ῥήτωρ ἐπειδὴ νοῦ ἀμοιρεῖ ἐμπειρικὸς ὢν δηλον ὅτι καὶ ἀδυναμίαι συνέχεται διὰ τοῦτο βουλης ἀμέτοχος ἐστιν. εἰ γὰρ κατὰ βουλὴν ὑποθωμεθα αὐτὸν πράττειν, πολὺ μᾶλλον καὶ δυνάμεως μεθέξει καὶ διὰ τοῦτο καὶ νοῦ· ὥστε καὶ ἐπιστήμων ἔσται ὅπερ ἄτοπον.

f. 377. b. p. 467. C. πάντα τὰ ὄντα ἢ ἕνεκά του ὡς τὰ χείρω, ἢ οὗ ἕνεκα ὡς τὰ κρείττω· καὶ ἔστιν ἡ διαίρεσις ἄμεσος· οὕτως οὖν ὁ σωκράτης τὴν χ κατασκευάσας πρότασιν τὴν μείζονα πάλιν ἐκ διαιρέσεως ἄλλης εἰσάγει λέγων· πᾶν τὸ ὂν ἤτοι ἀγαθὸν ἢ κακὸν ἢ μεταξὺ τούτων· εἰ οὖν τοῦτο δῆλον ὅτι τὸ τούτου ἕνεκα ἤτοι ἀγαθὸν ἢ κακόν· ἀλλὰ μὴν οὐ κακόν, ἀγαθὸν ἄρα· τὰ γὰρ μεταξὺ τῶν ἀγαθῶν ἕνεκα πράττομεν δῆλον ὅτι.

ibid. p. 467. E. ἡ μειζων προ ἐντεῦθεν κατασκευάζεται.

f. 378. a. p. 468. B. ἐκ τούτων ἂν λάβοις   πιστημόνως ζῶντες· ἀβουλητως   νεργοῦσιν· ὧι ἕπεται τὸ καὶ τὰ ἁμαρτήματα πάντα   σια εἶναι ὡς καὶ ἐν τοῖς νόμοις λέγει.

ibid. p. 468. D. τί οὐκ ἀποκρίνει] ὁ μὲν γοργίας ἐπιεικέστερος ὢν καὶ ἑτοίμως ἀπελογεῖτο, καὶ ἐτίθει τὰ ἐρωτώμενα· ὁ δὲ πῶλος σιωπᾶι αὐθαδέστερος ὤν· ὁ δὲ καλλικλῆς παντέλως ἀνερυθριάστως οὐ δὲ ἀνέχεται τῶν συλλογισμων ἀλλ' ἰταμῶς διακείμενος τῶι σωκράτει παραχωρεῖ καθαυτὸν συνάγειν ἃ βούλεται· μέσος οὖν ἄρα ὁ πῶλος ἀμφοῖν· τοῦ μὲν τῆι ἐπιεικείαι τοῦ δὲ τῆι αὐθαδείαι ἀπολειπόμενος.

ibid. E. ὡς δὴ σὺ ὦ Σώκρατες] ὁ πλημμελῶς κατὰ δόξαν ζῶν σοφιστὴς ἐπειδὴ τοῦ λόγου ἐξέπεσεν καὶ τῆς τοῦ συλλογισμου ἀνανκης εἰς τὴν αἴσθησιν φεύγει· καὶ ταύτην προτείνει τὸν ἐπιστήμονα ἐκ τούτου εἰς ἀντίφασιν ὡς δοκεῖ περιάγων.

378. b. Scholia duo vel tria non lecta. Unum (ἧττον ἐπὶ τοῦ ἀποθνήσκοντος) ex evanidis extat in Ruhnken.

ibid. p. 469. B. ἢ γὰρ] ἀντὶ τοῦ ει συναπτικοῦ ὡς παρ' ομηρω· οὐδ' ἀφαμαρτοεπης ἢ καὶ γένει ὕστερος ἦεν.

ibid. οἶδεν ὁ σωκράτης καὶ καλὴν τυραννιδα·   τοῖς νόμοις· καὶ διὰ τοῦτο νῦν ἐρωτα ποῖον φησὶ τυραννεῖν.

ibid. p. 469. D. ὑπὸ μάλης πάντες παλαιοὶ προφέρονται ἐνικῶς· τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν· καὶ ἀεὶ μετὰ τῆς προθέσεως ὡς δημοσθένης ἐν τῶι πρὸς

ἄφοβον· ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπομάλης ἡ πρόκλησις γέγονεν· ἀλλ' ἐν τῆι ἀγοραῖ· πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν ἀλλὰ μασχάλας, καὶ ανευ τῆς προθέσεως· λυσίας ἐν τῆι πρὸς μετάνειραν ἐπιστολῆι· καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις τὰς δέ μασχάλας δασείας· τὸ μέντοι ὑπο κολπους ταυτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὕπαρχον ἀμφοτέρως ἐχρήσαντο ἑνικῶς φημὶ καὶ πληθυντικῶς καὶ ἀεὶ μετὰ τῆς προθέσεως οἷον ὑποκόλπον καὶ ὑποκόλπους.

ibid. τεθνήξει] ἀντὶ τοῦ τεθνήξεται· ἐνέργεια ἀντὶ πάθους ἀττικῶς.

ibid. κεφαλῆς—κατεαγῆναι] καὶ τοῦτο ἀττικὸν· τὸ γὰρ κοινον τὴν κεφαλὴν κατεαγῆναι· τὸ γὰρ ἐπιμέρους λέγειν ἀττικὸν· οἷον ἔφαγον τοῦ ἄρτου· οὕτως οὖν καὶ κατεαγην τῆς κεφαλῆς.

ibid. p. 471. B. μέχρι τούτων δέδεικται ἡ ῥητορικὴ εἴδωλον τοῦ τῆς πολιτικῆς μορίου· καὶ ὅτι ἡ ποιητικὴ τῆς εὐδαιμονίας ἐπιστήμη ἐστιν· καὶ ὅτι ἡ δύναμις τέλος ἔχει τὸ ἀγαθὸν· καὶ ὅτι ἡ βούλησις ἀεὶ τῶν ἀγαθῶν ἐστιν· καὶ ὅτι οὐδεὶς κακὸς ἢ μέγα δύναται ἢ ποιεῖ ἃ βούλεται· ἀλλὰ μόνος ὁ ἐπιστήμων καὶ δύναται ὅσα βούλεται καὶ ζῆι κατὰ νοῦν ἐνεργῶν.

380. b. Scholion in ſummo paginæ non lectum.

ibid. p. 473. D. ἐμαρτύρου] ἀντὶ τοῦ μάρτυρας προσεκάλου.

ibid. E. ἐπιψηφίζειν ἀντὶ τοῦ ἐπιμαρτυρειν καὶ ἐπικυροῦν τὸν λόγον ὃν σὺ λέγεις· ἡ δὲ συνταξις πρὸς αἰτιατικὴν.

384. b. p. 483. A. ἐδιώκαθες] ἐδίωκες.

ibid. B. προπηλακιζόμενος] ὑβριζόμενος· ἐξουθενούμενος.

386. Scholion in ſummo p. non lectum.

ibid. p. 486. E. ἕρμαιον τὸ απροσδοκητον κέρδος ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν.

386. b.	σοφίας ἔνδεια	ἐπιστήμη
	αἰσχύνης παρουσία	παῤῥησία
	ἀπάτη	δόξα ὡς φρονιμου καὶ εὔνου.

387. b. ἔχε δὴ] ἀντὶ τοῦ μέμνησο τῶν ῥηθέντων.

390. a. p. 495. E. τοῦ τριτου ἐπιχειρήματος ὅτι ἐπ' εὐθείας ἐκ τοῦ τὰ ἐναντία μήτε αμα συνεῖναι μήτε ἅμα ἀπαλλάττεσθαι.

ibid. ευδαιμονως βιοῦσιν, ἥδονται, κνῶνται, οἱ ψωριῶντες.

390. b. p. 497. A. ἀκκίζειν τὸ προσποιεῖσθαι τὸ θρύπτεσθαι· τὸ μωραίνειν· πέπλασται δὲ ἡ λέξις ἀπὸ ἀκκοῦς τινος μωροτάτης ἣ τόν τε ἱστὸν διελουσα τοὺς στήμονας ἐπεὶ ὑφ' ἑτερας ἐκαλεῖτο ἱστουργοῦσα προῆλθεν καὶ ἡμιτέλεστον ἄλλον ἱματιον πεποί-

ηται· μέρος τοῦ ἱματίου γυμνους τοὺς στήμονας ἀφορίσασα. Alterum ſcholion, quod apud Ruhnken. legitur, hoc multo melius eruditiuſque, in Codice noſtro extat.

f. 402. b. p. 523. A. ἦν οὖν νόμος] τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφοράν· ἵνα σημάνη πρώτας καὶ δευτέρας ὑποστάσεις· ὅτι δὲ ἀχρόνως ταῦτα δεῖ νοεῖν, ἐμφαίνει τὸ ἀεί ἐστιν.

ibid. B. ὅτε οὖν πλούτων] ὅτι ὁ συνέχων καὶ τὴν λοιπὴν δυάδα οὗτος ἐστιν ὁ ζεύς· πρὸς ὃν καὶ ὁ πλούτων ἐπιστρέφεται· καὶ τὸν νοῦν προσείληφεν καὶ τοὺς λόγους πάντων προ τῆς δυάδος.

ibid. ἔλεγον πρὸς τὸν δία] δία νῦν ἀκουστέον οὐ τὸν προ τῶν τριῶν ἀλλὰ τὸν ἕνα τῶν τριῶν. πρὸς ὃν ἐπιστρέφεται ὁ πλούτων καὶ οἱ επιμεληταί. εἰσι δὲ δαίμονες κολαστικοί· καὶ καθαρτικοί· καὶ τελεσιουργοί.

403. a. ibid. E. γυμνὸς ὁ κριτής· οὐ μόνον τοῦ ὀστρεώδους σώματος, ἀλλὰ καὶ τοῦ ἀερώδους φυράματος καὶ μόνον ἔχων τὸ αὐτοειδὲς ὄχημα· οἱ δὲ κρινόμενοι γυμνοὶ μὲν τῆς παχύτητος τοῦ ὀστρεώδους· περιφέροντες δὲ τὸ ἀέριον φύραμα, καὶ δεόμενοι καθάρσεως.

Meno.

405. a. init. τούτου τοῦ πράγματος] ἀντὶ τοῦ εἰς τοῦτο τὸ πρᾶγμα ἢ ἀντὶ τοῦ ἕνεκεν τούτου ἢ ἀντὶ τοῦ ἀπόρως ἔχων.

40. MENÆA Græcorum. Codex membranaceus, initio et fine detruncatus. ff. 203. Incipit cum die 15° Menſis Septembris, τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου μάρτυρος στεφάνου.

Incipit Menſis October f. 14.
——— November f. 60.
——— December f. 102. b.
——— Januarius f. 154. b.
——— Februarius f. 182. Definit Codex cum hujus menſis die 23. Ultima ſunt verba, ἀντιόχος ὁ μέγας ἀνὴρ πρεσβύτης. Vide Edit. Venet. ſign. θ 1111. b. lin. 5. ab im. p.

41. MENÆA Græcorum. Codex membranaceus, initio et fine mutilus. ff. 252. Incipit cum Menſis Septembris die 2. in Hiſtoria Joannis τοῦ νηστευτοῦ. Prima verba ſunt πολλοῦ ἔμελλε διαρκέσαι. Vide Edit. Venet. ſign. β. 111. a. col. 2, lin. 26.

Mensis October f. 36.
——— November f. 91.
——— December f. 137.
——— Januarius f. 185. b.
——— Februarius f. 221. b. Desinit Codex cum ejusdem mensis die 28. in Historia Proterii, Archiep. Alexandriæ. Ultima verba sunt οὐκ εἰς ἀλεξάνδρειαν τὸν Edit. Venet. sign. κ. b. col. 1, lin. 38. MS. uterque ab edito in multis videtur diversus.

42. CODEX partim membranaceus, partim chartaceus, ff. 291. continens Theophylacti in Epistolas Paulinas commentarios. Incipit cum Epist. ad Rom. viii. 28. οἴδαμεν δὲ ὅτι in membr.

f. 33. b. Epist. ad Hebræos, usque ad f. 45. inclusive in membr. 46—58. chart. 59—63. in membr. cett. in chart.

f. 102. b. I. Epist. ad Corinthios.

f. 162. II. Epist. ad Corinthios. Avulsum est folium post 163. continens registrum num. κϛ. a I. 9.—μονονουχὶ φωνὴν ad 13. πρόδηλα εἶναι.

f. 201. Epist. ad Ephesios.

f. 229. b. I. Epist. ad Thessalonicenses.

f. 242. II. Epist. ad Thessalonicenses.

f. 249. b. Epist. ad Philippenses.

f. 268. Epist. ad Colossenses: ad finem hujus Ep. scriptum reperitur δημητριος αμαρτωλός.

f. 286. b. Epist. ad Titum desinit cum cap. ii. 13. μακαρίαν ἐλπίδα καὶ ἐπιφα...

Incipit registrum cum litera ε. Desunt ergo in principio folia 32.

43. CODEX in membranis, ff. 162. initio et fine mutilus.

I. Incipit: ἡ ἐκκλησία νυμφικῶς κ. τ. λ. Ex Encomio S. Andreæ Cretensis in nativitatem Deiparæ. Vide edit. Fr. Combefisii, Paris. 1644. p. 4. D. ad μηρῶν ἐξέφυ p. 9. B.

II. f. 4. τοῦ ἐν ἁγίοις πρς ἡμῶν ἀνδρέου ἱεροσολύμων εἰς τὴν παγκόσμιον ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ στρου. Κινήσωμεν, ἀγαπητοὶ, σήμερον. Desinit p. 7. καὶ συμβασιλεύσωμεν Θεῷ τῇ τριάδι σὺν ἀγγέλοις περὶ χορεύοντες τῷ ἐν πρι κ. τ. λ. Vide Lambecium t. viii. p. 613.

III. f. 7. b. μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ χῦ νικήτα. Τῶν ἁγίων μαρτύρων καλὸν μὲν τὴν μνήμην ἐπὶ τελεῖν—Def. f. 10. ἀνάγκη δὲ πᾶσα καὶ συγχωρεῖν τοῖς θαύμασιν του ἁγίου· τὸ κατὰ παντὸς ἔχειν λόγου τὰ νικητήρια. εἰς δόξαν τοῦ πρς κ. τ. λ.

IV. f. 10. b. μαρτύριον τῆς ἁγίας καὶ ἐνδόξου καὶ καλλινίκου καὶ μεγαλομάρτυρος τοῦ χῦ εὐφημίας. κυριευ. Διοκλητιανοῦ βασιλεύοντος, ἀνθυπατεύοντος δὲ πρίσκου. Def. f. 15. ἵνα ταῖς εὐχαῖς τῆς ἀθλοφόρου εὐφημίας μέρος σχῶμεν σὺν αὐτῇ ἐν τῇ βασιλεία τῶν ουνων ἐν χῷ ῑῡ. κ. τ. λ. Vide Acta Sanctorum Sept. 16. Lambecium viii. pp. 512. 614.

V. f. 15. b. βίος καὶ πολητεία τῆς ὁσίας θεοδώρας τῆς ἐν ἀλεξανδρεία ἀσκησάσης κυριε ευ. Ἐν ταῖς ἡμέραις ζήνωνος τοῦ βασιλέως—Def. f. 17. b. κοιμηθῆσα ἐν τῇ εἰκάδι τετάρτη τοῦ σεπτεμβρίου μηνὸς ἐν γὰρ χῷ ῑῡ κ. τ. λ. Vide Acta Sanct. Sept. 11. Lambecium viii. pp. 508. 682.

VI. f. 18. ἀνάπαυσης τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἰωάννου τοῦ θεολόγου. ευ περ. Τοῦ κῡ ἡμῶν ῑῡ χῡ τὴν χάριν ἐπιδώσαντος διὰ τὸν λόγον ἰωάννου τοῦ ἀποστόλου αὐτοῦ ἐπίστεον πάντες σχεδὸν οἱ ἐν πάτμω τῇ νίσω. Historia in fine mutila. Def. f. 20. b. καὶ μετὰ τὸ πρὸσεύξασθαι αὐτὸν ἠσπάσατο ἡμᾶς.

VII. f. 21. De S. Anania. Lib. mutilus initio. Incipit ψας δὲ καὶ ἀναστὰς ἐβαπτίσθη· ταῦτα ἐκτελέσαντος τοῦ ἁγίου ἀνανίου. Def. f. 22. b. τελειοῦται δὲ ὁ ἅγιος ἀπόστολος καὶ μάρτυς τοῦ χῡ ἀνανίας μηνὶ ὀκτωβρίω πρώτη. ἐν γὰρ χριστῷ ῑῡ κ. τ. λ.

VII. f. 23. Historia mutila initio S. Thomæ. Inc. μονογενῆ ἔχων ἐκδέδωκεν αὐτὴν εἰς γάμον· τοῦ οὖν γάμου ἡ χαρὰ καὶ ἡ πανήγυρις ἐστὶν σήμερον. Def. f. 30. ὁ κς ἐκέλευσεν αὐτὸν κηρύσσειν τὸν λόγον τῆς ἀληθείας σὺν πρι κ. τ. λ.

IX. f. 30. b. μαρτύριον τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου θωμᾶ. Ἐξελθόντος δὲ τοῦ ἀποστόλου κατὰ τὴν πρόσταξιν τοῦ κῡ—Def. f. 33. ἐπληρώθησαν δὲ αἱ πράξεις θωμᾶ τοῦ ἀποστόλου ἃς ἔπραξεν ἐν ἰνδία. πληρῶν τὰ προστάγματα τοῦ πέμψαντος αὐτόν ἐν χῷ ῑῡ κ. τ. λ.

X. f. 33. b. In summo μηνὶ ὀκτωβρίω ζ. Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων τοῦ χῡ σεργίου καὶ βάκχου. Μαξιμιανοῦ τοῦ τυράννου βασιλεύοντος πολλῇ κατείχετο πλάνη τὸ τῶν ανων γένος. λίθοις γάρ. Def. f. 44. b. ἠπιότητι δὲ μᾶλλον τὸν ἅγιον μάρτυρα τιμῶντα πρὸσέδρεύουσιν τῷ τόπω προστάγματι θῡ. κ. τ. λ. Vide Acta Sanctorum Octobr. 7. Lambecium viii. pp. 529. 549. 557.

XI. f. 44. b. βίος καὶ μετάνοια τῆς ὁσίας πελαγίας. Τὸ γεγονὼς πρᾶγμα ἐν ταῖς ἡμέραις ἡμῶν ἔδοξε τῷ θῷ δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἰακώβου γράψαι.

XII. f. 51. Acta SS. Martyrum Tarachi, Probi, et Andronici. Incip. κἀγὼ τὴν πολιάν σου κατανοήσας βούλομαί σε. Vide Ruinarti Acta Martyrum Selecta p. 423. Hiſtoria in fine quoque mutila. Definit f. 61. b. διαρρῖξαι ταύτας ἐπεβιάζετο ὥστε τὸν ὄχλον φοβηθέντα. Ruinart. l. c. p. 446.

XIII. f. 62. μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος ἀρτεμίου. Βασιλεύοντος ἰουλιανοῦ πολλῆς ἀσεβείας καὶ δυσσεβείας πεπληρωμένος—Defin. f. 64. ταῦτα ἐπράχθη ἐπὶ ἰουλιανοῦ ἐν ἀντιοχείᾳ ἐν τόπῳ καλουμένῳ δάφνῃ βασιλεύοντος τοῦ κῦ ἡμῶν ῖῦ χῦ. κ. τ. λ.

XIV. f. 64. b. μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀρέθα καὶ τῶν σὺν αὐτῷ. Ἔτους πέμπτου τῆς βασιλείας ἰουστίνου τοῦ φιλοχρίστου βασιλεύοντος τῆς ῥωμαίων πολιτείας· ἰνδικτιόνι δευτέρα· κατὰ δὲ ἀντιοχίαν τῆς συρίας ἔτους πέμπτου τριακοστοῦ ὀκτακοσιοστοῦ μηνὸς ἀπερβεραιτέου ὅς ἐστιν ὀκτώβριος ἐπισκοπεύοντος ἀλεξανδρίας τιμοθέου τῆς ἱερουσαλὴμ ἰωάννου κωνσταντίνου πόλεως τιμοθέου καὶ ἀντιοχείας εὐφρασίου· τότε τῆς αἰθιόπων χώρας ἐβασίλευεν ἐλεσβαᾶς ὁ δικαιότατος ἐν αὔξουμη πόλει τῶν Αἰθιόπων κ. τ. λ. Conf. Lambecium t. viii. p. 823. et alibi.

Def. f. 73. λέγει αὐτῷ πάλιν ὁ βασιλεὺς ἐμὲ ἀγαπᾷς ἢ τὴν μρα σοῦ. folium h. l. videtur avulſum. Incipit fol. ſeq. περσῶν συμεωνίου πρεσβυτέρου καὶ ἀπὸ κρισιαρίου.

Def. fol. 80. b. ὅθεν τὴν ἀπαρχὴν τῆς ἀναστάσεως καὶ τῆς ἀφθαρσίας ἐποιήσατο ἡμῖν χ̄ς ὁ ῡς τοῦ θῡ ὁ ἀναστὰς ἐκ νεκρῶν ὅτι αὐτῷ πρέπει κ. τ. λ.

XV. fol. 80. b. μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ χριστοῦ δημητρίου· κυριευλ°. Μαξιμιανὸς ὁ καὶ Ἑρκούλιος ὑποτάξας γότθους—Deficit f. 84. b. κτισθέντι ναῷ τοῦ ἁγίου δημητρίου. Vide Montefalconii Bibl. Coiſlin. pp. 185. 195. Lambecium iv. p. 305.

XVI. Incip. f. 85. Hiſtoria mutila initio de SS. Coſma et Damiano. λαβεῖν τὸν στέφανον μετὰ πάντων τῶν ἁγίων τῶν εὐαρεστησάντων τῷ χῷ· ἔμεινεν δὲ ὁ ἅγιος κοσμᾶς—Deſ. ἀλλὰ σώσας με ἐκ χειρὸς τοῦ αἱμοβόρου διαβόλου διὰ τῶν εὐαρεστησάντων σοι ἁγίων κοσμᾶ καὶ δαμιανοῦ. κ. τ. λ.

Sequuntur alia eorundem miracula ad fol. 95. b.

XVII. f. 96. μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων τοῦ χῦ. ἀκινδύνου πηγασίου καὶ ἀνεμποδίστου. Κατὰ τοὺς καιροὺς ἐκείνους βασιλεύοντος κατὰ συγχώρησιν τοῦ χῦ. Deſ. f. 108. b. ἐτελιώθησαν δὲ οἱ ἅγιοι μάρτυρες τοῦ χῦ μηνὶ νοεμβρίῳ δευτέρα· ὧν

τα σεμνὰ σώματα κατετέθησαν ἐν τόπῳ ἐπισίμῳ καλουμένῳ εἰρηνησῶ. Βασιλεύοντος σαβωρίου τῶν περσῶν κ. τ. λ. Vide Lambecium t. viii. p. 563.

XVIII. f. 108. b. μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ χ̅υ̅ μαρτύρων ἀκεψιμᾶ· ἰωσὴφ· καὶ ἀειθαλά. Ἐν ἔτει ἑβδόμῳ καὶ τριακοσιοστῷ τοῦ καθ' ἡμᾶς διωγμοῦ ἐξῆλθε δόγμα καθ' ὅλης τῆς ὑπὸ Πέρσας τελούσης γῆς. Hiſtoria mutila in fine. Deſ. f. 113. πρὸς τὴν οἰκείαν ἀνθυποστρέφειν καθέδραν. Vide Aſſemanni Acta Martyrum Orientalium p. 171. et ſeqq.

XIX. f. 114. μαρτύριον τοῦ ἁγίου φιλίππου τοῦ ἀποστόλου. Κατὰ τὸν καιρὸν ἐκεῖνον τραϊανοῦ τοῦ βασιλέως. Hiſtoria mutila in fine deſ. f. 118. b. μὴ γίνεσθε στυγνοὶ ὅτι ἐξέρχομαι ἀπὸ τοῦ σώματος τούτου. Vide Lambecium t. viii. p. 584. et ſeqq.

XX. f. 119. Hiſtoria ακεφαλος Guriæ, Samonæ, et Abibi. Inc. Ἀνὴρ δέ τις γότθος ὑπάρχων τὸ γένος σὺν τοῖς στρατεύμασιν ἐν τῇ πόλει γενόμενος—Deſ. f. 126. b. διὰ δὲ τὴν τοῦ ἀρχιερέως παράκλησιν ἐπαύσαντο τὸ καὶ πυρὶ κατὰ καύσαι τὸ σῶμα αὐτοῦ· κοινῇ δὲ παρὰ πάντων δοξολογία ἐγένετο πρὸς τὸν σ̅ρ̅α̅ χ̅ν̅ τὸν μὴ παρορῶντα τοὺς εἰς αὐτὸν ἐλπίζοντας, καὶ τοὺς ἐπὶ τῶν ἁγίων μαρτύρων τὴν δύναμιν κατὰ φεύγοντας.

XXI. f. 126. b. τοῦ ἐν ἁγίοις π̅ρ̅ς̅ ἡμῶν γερμανοῦ ἀρχιεπισκο κωνσταντίνου πόλεως εἰς τὴν ἁγίαν ἡμῶν δέσποιναν θ̅κ̅ο̅ν̅· ὅτε πρὸσ ἠνέχθη ἐν τῷ ναῷ τριετίζουσα ὑπὸ τῶν αὐτῆς γονέων. Κυ̅ ευ. Ἰδοὺ καὶ πάλιν ἑτέρα πανήγυρις. Vide Bandini Catal. Bibl. Laur. t. i. p. 442.

XXII. f. 131. μαρτύριον τῆς ἁγίας καὶ ἐνδόξου καὶ καλλινίκου μάρτυρος αἰκατερίνης : κ̅ε̅ ευ. Ἔτους τριακοστοῦ πέμπτου βασιλεύοντος τοῦ ἀσεβεστάτου καὶ παρανόμου βασιλέως μαξεντίου.

Deſ. f. 141. b. ταῦτα ἐγὼ ἀθανάσιος ταχυγράφος ἅμα δὲ καὶ δοῦλος ὑπάρχων τῆς κυρίας μου αἰκατερίνας συνεγραψάμην τὰ ὑπομνήματα αὐτῆς ἐν πάσῃ ἀσφαλείᾳ. Ἐτελειώθη δὲ ἡ κυρία μου αἰκατερίνα μηνὶ νοεμβρίῳ κ̅ε̅. ὥρα τρίτῃ κ. τ. λ. Vide Lambecium t. viii. p. 824.

XXIII. f. 142. Μαρτύριον τοῦ ἁγίου ἰακώβου τοῦ πέρσου. Κατ' ἐκεῖνον τὸν καιρὸν ἦν ὁ μακάριος ἰάκωβος οἰκῶν ἐν βαλαπάτῃ τῇ πόλει. Deſ. καὶ μετὰ σπουδῆς ὡς ἦν ἄξιος ἐκόμισαν αὐτὸ κρυφίως· καὶ κομήσαντες ἀπέθεντο ἐν τόπῳ σεμνῷ εἰς δόξαν κ. τ. λ.

XXIV. f. 149. βίος τοῦ ὁσίου π̅ρ̅ς̅ ἡμῶν ἀβραμίου· συγγραφεὶς παρὰ τοῦ μακαρίου ἐφραιμ. Κ̅ε̅ ευ. Ἀδελφοὶ βούλομαι ὑμῖν διηγήσασθαι πολιτείαν καλὴν καὶ τελείαν.

Vide Ed. Thwaites p. 220. Deficit post f. 157. b. ἔξυπνος δὲ γενόμενος ὁ μακάριος. Ed. Thwaites p. 229. ιε. In locis ubi cum ed. contuli nullum fere quod ad sensum, magnum quod ad verba apparet discrimen.

XXV. f. 158. Acta S. Andreæ initio et fine mutila. Incip. ἀνέγνωσαν τὴν ἐν τῇ χειρὶ αὐτοῦ τάβλαν καὶ εἶπον ἐν ἑαυτοῖς ὅτι ἔτει τρεῖς ἡμέραι—Def. f. 162. Ὁ οὖν ις γνοὺς ὅτι ἀφύπνωσεν ὁ ἀνδρέας εἶπεν τοῖς ἀγγέλοις αὐτοῦ λέγων· ὑπὸ στηρώσατε ὑμῶν τὰς χεῖρας καὶ διαβαστάσατε τόν τε ἀνδρέαν καὶ τοὺς μαθήτας αὐτοῦ· καὶ πορευθέντες θέτε αὐτούς.

44. CODEX membranaceus fol. 162. a diversis manibus exaratus.

I. Incipit f. 1. δόξης ἐπιθυμία ἐπὶ τὸ νεωτερίζειν ἐληλυθότα—Definit καὶ παντα μὲν. Ex S. Basilio Ed. Garn. t. i. p. 209, 1—210. C.

f. 2. λέγουσιν ἀλλ' ὁμοῦ μὲν ταύτην—Def. f. 5. ἐπιδεχόμενα ἐπινοίᾳ θεωρητά. Basil. ibid. p. 212. A.—218. B.

